# TEZAUR LITURGIC

## 12 MARTIE
## SF.METODIE I, PATRIARHUL CONSTANTINOPOLULUI

# VIAȚA SF.CUVIOS TEOFAN MĂRTURISITORUL

**ST.PETERSBURG,1918**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Saint THEOPHANES THE CONFESSOR

## Edition: V. V. Latyšev, Mefodija patriarcha Konstantinopol'skogo Žitie prep. Feofana Ispovednika (t. Petersburg 1918)

[p. 1]

βίος τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοφάνους· ποίημα Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως.

1. ἔμπρακτον κάλλος καὶ προαιρετικὴν εὐμορφίαν λόγῳ διαγράψαι πάλαι κελευσθεὶς παρὰ τῆς σῆς ἀγάπης, στεφώνυμε, τρισὶν ἐκωλύθην προφάσεσι τὸ ἀπάρξασθαι, καίπερ συνθέμενος τὸ ὑπήκοον, ἀπειρίᾳ φημὶ καὶ ἀναξιότητι καί, τἀληθέστερον εἰπεῖν, ἀγνωμοσύνῃ τῇ κακῶς συμβιούσῃ μοι· λέγω γὰρ ἤδη πρῶτος τὴν ἀνομίαν μου, ἴσως γένωμαί ποτε δικαιωθῆναι εἴτ᾽ οὖν συγχωρηθῆναι ταύτην ἐπάξιος· καὶ νῦν, ἵνα ἐπακούσω τὸ παρὰ Ἰεφθάε, ὅτε προσεκαλεῖτο εἰς ἄρχοντα Ἰσραὴλ τοῦ ἀναβῆναι πολεμεῖν τοὺς ἐχθροὺς αὐτοῦ, ὅτι ἐπειδὰν χρῄζητε, ἤλθετε πρός με, οὕτω δὴ κἀγὼ τῷ χρῄζειν καὶ προσδεῖσθαι τῆς τοῦ γραφησομένου εὐχῆς καὶ βοηθείας ἀναγκαιότατα τὸ ἱστορεῖν ἐγχειρῶ αὐτόμολος, φόβῳ καὶ πόθῳ καὶ χρείᾳ ἀπαραιτήτῳ εἰς τοῦτο κινούμενος, λαθὼν καὶ ἀμουσίας καὶ δυσπραγίας, ἄμφω τῶν συνεκτρόφων μου, καὶ μόνου

τούτου γινόμενος τοῦ ἐκ τῆς τολμηρᾶς ὑπακοῆς, μᾶλλον δὲ χρειώδους προδρομῆς ἐλπιζομένου μοι, τῆς πρεσβευτικῆς λέγω δὴ ἀρωγῆς τοῦ χαρακτηρισθησομένου ἁγίου παμμάκαρος, πιστεύων ὡς κατασπεύσει ἐπικληθεὶς βοηθῆσαί μοι καὶ ἐξαγάγει [λεγε· ἐξαγάγῃ] τάχος ᾗ [λεγε· ἢ] ἐγὼ συντελέσαιμι, λάκκου ταλαιπωρίας καὶ φυλακῆς καὶ δεσμῶν καὶ ἵλεως [λεγε· ἰλύος] τὴν ἐμὴν ἀθλιότητα, καὶ γένωμαι πρὸς τούτοις συμπανηγυρίζων τοῖς ἀγαθοῖς ἅπασι φιλακροάμοσι, μεθέξων καὶ αὐτὸς τῶν τοῦ πανοσίου δωρεῶν, καθὰ καὶ πέφυκε χαρίζεσθαι πλουσίως τοῖς χρῄζουσι πάντοτε. τοιγαροῦν ἔνθεν ἑλὼν ἀπάρχομαι τὴν διήγησιν, μικρὸν ἀσφαλισάμενος καὶ οἱονεὶ προσαρώσας τῇ προτροπῇ τοὺς ἀκούσοντας.

[p. 2]

2. ἡ τῶν ἁγίων ἱστορία, φιλόχριστοι, ἁρμόζεταί τε καὶ τέθηλεν, ἤγουν προσοικειοῦται καὶ βλαστάνει ἐν ταῖς μετὰ πίστεως ἀκροωμέναις ψυχαῖς εἰς τὸ ἀξίως ἀγάσασθαι καὶ προθυμίᾳ σπεύδειν μιμήσασθαι, αἳ καὶ χάριν τῷ γράψαντι σαφῶς μετὰ <τὸν> τοῦ διηγήματος αἴτιον ἅγιον καθομολογήσαιεν, ὁδηγὸν ὥσπερ εὐθείας ὁδοῦ ἢ οἰνοχόον καὶ ἑστιάτορα πλουσίας πανδαισίας αὐτὸν ἐπιστάμεναι. ὅθεν οἷς παρατίθημι τὴν εὐωχίαν τήμερον ὁ ἀνάξιος, τούτους τῷ ἀνθηρῷ καὶ καινῷ τῶν ἐδεσμάτων προσέχοντας λίσσομαι ὄμματά τε καὶ γλῶσσαν τῇ ὡραιότητι καὶ

ἡδύτητι ἑστιωμένους καὶ κατευφραίνοντας (ἔστιν γὰρ ἐπὶ ἡμῶν αὐτῶν ἡ καρυκεία συντιθεμένη τῷ τοὺς ἀγῶνας τοῦ πανοσίου καὶ αὐτὴν ὄψιν τοὺς πλείονας τῶν μεθ᾿ ἡμῶν κατοπτεῦσαι), εἰς ταῦτα ἠσχολημένους καὶ ἀγαλλομένους ὡς κατ᾿ ἐξαίρετα μὴ ποιήσασθαι λόγον τῆς τοῦ ἀρχιτρικλίνου, ἐμοῦ λέγω δή, ἀναξιότητος, μηδὲ παθεῖν σίγχος [λεγε· σίκχος] ἕνεκεν τῆς νοερᾶς ἀφυΐας καὶ δυσειδείας μου, ἀλλ᾿ ὅτι μᾶλλον τὰ ἐπὶ καιροῦ τοῦ ἡμετέρου εὐώδωμαι γράψασθαι καὶ τὰ τοῖς ἡμῶν ὀφθαλμοῖς ὁραθέντα τε καὶ ἔτι ὁρώμενα θαύματα διηγήσασθαι, χάριν ὁμολογεῖν ὡς τῆς χοροστασίας κατάρξαντι, μὴ μὴν τῆς τόλμης κατεγκαλέσαι μοι, ὅπως ἄμφω τὰ μέρη, ἐγώ τε καὶ αὐτοί, διαδησαίμεθα τὴν δόξαν ἐπὶ τὴν τοῦ νοῦ κεφαλὴν ἀλληλομαρτύρως εἰλικρινέστατα· καθ᾿ ὃ οὐκ ἐμποδίζει τὸν νοῦν δισταγμὸς πώποτε, οὐδ᾿ ἐγκοτεῖ λογισμὸς διανοούμενος, ἀλλ᾿ ἔστιν ἔργον ὁ λόγος δεικνύμενος καὶ αὐτοπίστευτος συγγραφὴ τὸ ἱστόρημα. οὐκοῦν ὡς ἐν παραδείγμασι τροπικοῖς τῶν λεγομένων κατακούσαιμεν πρότερον καὶ συνεποίμεθα ταῖς χάρισιν οἱ πανηγυρίσοντες.

3. παράδεισος ἠνοίχθη, καὶ φυτὰ διεδέχθη, καὶ οἱ καρποὶ τρυγῶνται· δράμωμεν, ἀδελφοί, κατοπτεύσωμεν· λουτήριον εὑρέθη, καὶ ἰατρεῖον ἐφάνη, καὶ σωτηρία χειροδοτεῖται· σπεύσωμεν οἱ πιστοὶ ἀρυσώμεθα· εὐγένεια αἰνεῖται, καὶ πλοῦτος οὐκ ἐμποδίζει, καὶ ἡ νεότης πρεσβυτεύει· ἴδωμεν οἱ εὐθεῖς

καὶ σοφώμεθα. χάρις ὑπερισχύει, καὶ νόμος ἡσυχάζει, καὶ γάμος παρθενεύει· δεῦτε οἱ τοῦ Χριστοῦ, μαθητεύσωμεν· ταῦτα Θεοφάνει τῷ θεοφανεστάτῳ ἐμπολιτεύεται καὶ καθορᾶται καὶ λειτουργεῖται καὶ διαδείκνυται, ἡμῖν δὲ τὴν ἐξ αὐτῶν ἐνέργειαν ἐμπαρέχεται, κόπων ἱδρῶσι καὶ προσαιρέσεων εὐφυῒᾳ σπαρέντα τῷ ὁσίῳ, ἡμῖν δὲ <διὰ> μιμήσεως καὶ ζήλου ἐναγωνίου τρυγώμενα καὶ δρεπόμενα. κατίδωμεν οὖν, τῆς τούτου βιοτῆς ἐναρξάμενοι, τῶν εἰρημένων
[p. 3] εὐθυτήτων ἅπαντα τὰ γεώργια καὶ τῶν {ἐξ} αὐτῶν γεωργόν, ὡς κατεβάλετο ἐν τούτῳ τὰ σπέρματα, ὅπως τε τὰ ἐν τῷ παραδείσῳ φυτὰ ἔγκαρπα καὶ τὸν ἀκεσόδυνον λουτῆρα τῆς σωτηρίας εὐγενῶς καὶ πλουσίως καὶ νεανικῶς ἐδομήσατο, εὐνομίᾳ κατισχύσας καὶ ἁγνείᾳ συζεύξας τὰ ἐν τῷ δούλῳ σὐτοῦ κατορθώματα εἰς τὸ ἡμῶν, ὡς εἴρηται, πανευζήλωτον.

4. οὗτος ὁ Θεοφάνης ὁ φερώνυμος (φαίνεται γὰρ τῇ δι᾽ αὐτοῦ ἐνεργείᾳ θεὸς ὀχετηγῶν τὰ σωτήρια) πατρὸς μὲν Ἰσαακίου ἐξέφυ καὶ Θεοδότης μητρός, οὐχ Ἰακὼβ δέ, ὡς ἀπὸ Ἰσαὰκ τεχθείς, γίνεται (οὐδὲ γὰρ πατριαρχεῦσαι πολυπληθίᾳ παίδων καὶ γυναικῶν, καθάπερ ἐκεῖνος, βεβούλητο, διότι οὐκ ἐν σπέρματι γηῒνῳ, ὥσπερ ἐκεῖνος, τυπικῶς τε καὶ ἐνεργῶς τὰ περὶ Χριστὸν καὶ τῷ Ἀβραὰμ σπέρμα <πε>πληρῶσθαι ἀπέκειτο), ἀλλ᾽ ὥσπερ τὴν πατρικὴν ὀνομασίαν μετεκληρώσατο, καίπερ οὐκ ὀνομασθεὶς οὕτως ἐν τῷ

βαπτίσματι ἀλλὰ φιλοπατόρως τῷ τοῦ Ἰσαύρου μιαρῷ Κωνσταντίνῳ ἐπικληθεὶς Ἰσαάκιος. οὗτος Ἰσαὰκ καὶ τάχα τοῦ πατρὸς παῖς Ἀβραὰμ καὶ τὴν γνώμην, καθὰ τὸ σωμάτιον, ἀλλ᾽ ἔτι μᾶλλον οὗτος ἐκείνου εὐπροκριτώτερος, ἑαυτὸν προσενέγκας, οὐ προσενεχθεὶς πατρόθεν εἰς θεῷ ὁλοκαύτωμα. θαυμάζεται γὰρ Ἀβραὰμ τῆς μεγαλοψυχίας καὶ ταύτῃ τὴν εὐλογίαν χριστεπαγγέλτως κατακουτίζεται· αἰνεῖται δὲ καὶ ὁ παῖς τῆς εὐπειθείας ἅμα καὶ φιλοπατορίας, κἀντεῦθεν τῷ τύπῳ τιμᾶται, ὡς τοῦ ἀληθινοῦ ἀμνοῦ κυρίου ἀντιδοθεὶς καὶ ἑαυτοῦ κριὸν αὖθις ἀντιλαβὼν τὸν ἐν τῷ τῆς ἀφέσεως φυτῷ ἐκ τῆς δυνάμεως, εἴτ᾽ οὖν κεράτων ἐγκατεχόμενον. ἄμφω δὲ οὗτος ὁ Ἰσαάκιος τῷ τε θαυμάζεσθαι, τῷ τε τιμᾶσθαι προσείληφεν καὶ ἐπ᾽ ἀμφοῖν τὴν εὐλογίαν καὶ τὴν τοῦ λουτροῦ εἰσδέχεται ἀντεισένεξιν, ἑαυτὸν καὶ προσενέγκας καὶ προσενεχθεὶς υἱοπατόρως, ἵνα καὶ <ὡς> πατὴρ θείων εὐλογιῶν καὶ ὡς τέκνον χριστοπειθοῦς λογισμοῦ τόν τε τοῦ Ἀβραὰμ καὶ τὸν <τοῦ> Ἰσαὰκ ἀναδήσηται στέφανον καί εἰ μή τῳ τολμηρότερα προβαίνων ὁ λόγος φανείη, καὶ τὴν μαρτυρικὴν ὑπερδιαδήσηται ταινίαν, οὐ πειρασμῷ μόνον, ἀλλὰ καὶ πλήρει μαρτυρίῳ ἐπαποθανὼν ὡς ἐν τῷ λόγῳ κατιόντες ὑποσημάνωμεν.

5. ὁ μὲν οὖν Θεοφάνης Ἰσαάκιος, ὁ τῷ φανῆναι θεόθεν ἔχων τὸ Ἰσαὰκ καὶ τῷ δείκνυσθαι Ἰσαάκιος θεοφανῶν, εἴτ᾽ οὖν ἀπὸ θεοῦ γινόμενος Ἰσαὰκ

[p. 4] καὶ διὰ Ἰσαάκιον λογισμὸν θεοφανῆσαι εὐδοκηθείς, οὗτος Ἰσαακίου καὶ Θεοδότης γονέων ἐβλάστησεν καὶ ταύτην τὴν πατρῴαν προσηγορίαν ὡς ἐπωνύμιον κέκτηται, τῇ ἐπιμνήσει τοῦ πατρὸς πρὸς τοῦ τυράννου Κωνσταντίνου πατρωνυμήσας τὸ Ἰσαάκιος· ἐπεὶ καὶ τῷ βαπτίσματι καὶ τῷ σχήματι Θεοφάνης ὠνόμαστο, ὥσπερ ἔφαμεν. ἦν δὲ καταλειφθεὶς ἐκ πατρὸς τριέτης ὁ τῆς ἁγίας τριάδος, τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ θεοῦ ἡμῶν, οἰκέτης φανεὶς γνήσιος, τῷ κατὰ σάρκα πατρὶ ἐν τῇ διεπομένῃ αὐτῷ τῶν Αἰγαιοπελαγιτῶν ἀρχῇ τελευτήσαντι, καὶ ἦν πρὸς τοῖς μητρῴοις ἤθεσι καὶ ⸂παιδεύμασιν ἐκτρεφόμενος ἐν πάσῃ παιδείᾳ καὶ νουθεσίᾳ κυρίου,⸃ καθὰ τῷ Παύλῳ παρήγγελται.

6. καὶ γενομένῳ αὐτῷ δεκαετεῖ ἁρμόζονται τὴν ἀντὶ μονογάμου ἄγαμον νύμφην Μεγαλοῦν καλουμένην ἀπὸ βαπτίσματος, οὖσαν καὶ αὐτὴν ἔτι ἐν τῇ ἀρχῇ τῆς δευτέρας ἡλικιώσεως, εἴτ᾽ οὖν ἐν τῷ ὀγδόῳ τῶν χρόνων ἐνιαυτῷ, Ῥεβέκκαν τῷ ὄντι καὶ τῷ κάλλει καὶ τῇ ψυχικῇ εὐγενείᾳ γνωριζομένην, ὡς δηλωθήσεται· καὶ τοῦτο οὐ δι᾽ ἐπιτρόπου τινὸς τῶν ἐν τῇ οἰκίᾳ τῇ πατρικῇ καθεσταμένου πάντων μείζονος, ἀλλὰ διὰ μητρῴων συμβιβασμῶν καὶ συμβολαίων ἀρχ<αι>οπρεπῶν, ἐπείπερ ἀμφοῖν πλοῦτος ἐξήγειρε παφλάζων τὰς διὰ μέσου τῶν δοσοληψιῶν ὁρμὰς καὶ φοράς, ἀλληλοφανῶς φιλονεικούντων τῶν περὶ ἑκάτερον μέρος προσκαθεσταμένων, χρήμασι καὶ

κτήμασι καὶ ἀνδραπόδοις ποῖον ὁποῖον μέρος ὑπερβαλεῖται ἐν ταῖς εἰσαγωγαῖς τε καὶ ἐκφοραῖς ἁπάσαις κοσμοπρεπέστατα. αὔξοντος δὲ τῇ ἡλικίᾳ τοῦ νεανία καὶ τὰ νεότητος πράττοντος, οὐ μὴν δὲ νεωτερίζοντος, ἀλλ᾽ ὅσα μόνον γυμνάζει τὸ σφρίγον σῶμα καὶ δείκνυσι τὸ εὐσταλές τε καὶ ἰθὺ καὶ ἐπίχαρι, φημὶ δὴ παγκρατεία, πυγμὴ καὶ δρόμος καὶ ἔξαλμα, αἱρεῖται τούτων πλέον τὰ κυνηγέσια καὶ ἱππάσια, τὸν οἶστρον τῆς ἐμπαθείας, ὡς δέδεικται, <μετ>εωρισμοῖς καὶ ἀσχολίαις ταῖς ἐκ τῶν θηρευμάτων ἀποκρουόμενος, ἢ τάχα καὶ ὡς ἐν τύπῳ τὰ τῆς σαρκὸς θηρία ταύτῃ καθυποτάσσων καὶ τῷ τοῦ νοῦ χαλινῷ καὶ σωφροσύνης τῇ μάστιγι ὡς πτῶκας καὶ νεκροὺς [λεγε· νεβρούς] τε καὶ μονιοὺς δεδιέναι πείθων καὶ ἀναγκάζων ἠρεμεῖν, ἢ ἀναιρῶν, εἰ συμβάλοιεν· μάλιστα δὲ τοὺς δο{υ}λοκερδοτρόπως συλᾶν ἐπιχειροῦντας ἢ ὡς ἀραβικοὺς λύκους ἐπιπηδῶντας αἰφνίδια, ἅπαντα πολυσχεδῶς καὶ πολυσχήμως προσβάλλοντα ἀνδρειοφρόνως καὶ θεοσόφως ἠφάνιζεν.

[p. 5]

7. ταῦτα πράττων ἐν τῷ τῆς νεότητος ἄνθει καὶ οὕτω τὴν τῶν λογιστικῶν παθῶν ὑποτάττων καὶ ἀναιρῶν ἢ μᾶλλον ἀποβουκολῶν καὶ ἀποσοβῶν θηριωδίαν ἐκ τύπου τῆς πρός τὰ ἔξω θηρία κυνηγεσίας, χρυσοχόον τινὰ οἰκέτην, Πράνδιον προσαγορευόμενον, εἰς φίλον

ἐκτήσατο εὐνούστατόν τε αὐτῷ καὶ διὰ συνηθείας τὸ θαρρεῖν ἔχοντα· ὃς εὐθὺς ἤδη δεικνύει τὰ τῆς εὐνοίας καὶ ὑποτίθεται λέγων αὐτῷ· «τί σοι καὶ ὁ κόσμος οὗτος, κύρι᾽ [λεγε· κῦρι?] Ἰσαάκιε» τούτῳ γὰρ μᾶλλον τῷ ἐπιθέτῳ ἢ τῷ κυρίῳ τῆς θεοφανείας ἐπωνυμήματι τοῖς πᾶσι σχεδὸν ἐπεκέκλητο. προσετίθει γοῦν ὁ ἐν φίλοις πιστότατος μετ᾽ ἄλλων πολλῶν καὶ τάδε πρὸς τὸν φιλούμενον· «εἰς τί δέ σοι ὁ περισπασμὸς τοῦ βίου καὶ ὁ πολὺς πλοῦτος καὶ ἀνόνητος, εἰδότι καὶ μᾶλλον, ἤπερ ἐγὼ φθέγγομαι, ὡς αὔριον ἀποθνήσκεις, καθάπερ πάντες ἄλλοι καὶ ὁ γεννήσας σε, μένουσι δὲ τὰ χρήματα καὶ αἱ πολλαί σου κτήσεις ἄχρηστοι καὶ ἀνέκτητοι [λεγε· ἀνέγκτητοι]· διότι ⸂γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται⸂, καθὼς φησιν ἡ γραφή, ⸂ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκε⸂, περιμένουσα δηλονότι καὶ αὐτὴ σὺν οὐρανῷ τὴν ἀνακαίνισιν, καθάπερ ἐμάθομεν.» τοῦ δὲ τῇ σιωπῇ τε καὶ προσοχῇ τῶν λόγων τοῦ παραινέτου ἐφέλκοντος (ποιεῖ γὰρ ἑτοιμότερον ἀναπεσταλμένη [λεγε· ἀναπεπταμένη?] ἀκοὴ τὸν πρὸς αὐτὴν ἐκθύμως διαγορεύοντα, ὡς, καὶ τὸ ἔμπαλιν, ἐκκόπτει θορυβοῦσα ἀπολογία τὸν εἰς αὐτὴν συμβουλεύοντα), προστίθησιν ὁ φίλος καὶ τὰ ἑπόμενα πρὸς τὴν τελειότητα καί φησιν· «μᾶλλον, ὦ κύριέ μου, σπούδασον λυτρωθῆναι τῆς τῶν γηΐνων φροντίδος καὶ γενέσθαι μοναχός, ὑπηρετῶν τῷ θεῷ δουλείαν ἀμέριστον· τὸ γὰρ γῆμαι δηλαδὴ καὶ γυναικὶ ζυγῆναι μεμερίσθαι ἐστὶν θεῷ καὶ κόσμου ματαιότητι, ὡς ὑποδείκνυσιν ὁ μέγας ἀπόστολος.» ἐν τούτῳ τῆς

συμβουλίας καταληξάσης καὶ τὸ τοῦ λόγου σπέρμα τοῖς τῆς διανοίας τοῦ εὐλογίστου Θεοφάνους λαγόσιν ἐναποθεμένου τοῦ χριστοποθήτου Πρανδίου, λόγου μὲν οὐκ ἐδεήθη τοῦ τὴν ἀπόκρισιν [λεγε· ἀπόκαρσιν] ἐξαπαιτοῦντος καὶ τὸν συνομιλοῦντα προσβεβαιοῦντος, ὡς ἐν πολλοῖς πέφυκεν, ἔργου δὲ καὶ πράξεως τῶν ὀφειλομένων εἰς τοσοῦτον ἐφρόντισεν αὐθήμερον ὁ νεώτερος, ὡς ἐν αὐτῇ μὲν καὶ κατ᾽ αὐτὴν τὴν ὥραν ἐκφῦναι τὴν βλάστην τοῦ καλοῦ σπέρματος, μηδένα δὲ καιρὸν μήτε μίαν ἡμέραν τῆς ἐπαυξήσεως παῦλαν εἰδέναι, ἐαρίζοντι τάχα αὐτῷ πάντοτε πρὸς τὴν ἐφ᾽ ὕψους ἀνάβασιν, καὶ μήτε καύσωνί τινι ὀλιγωρίας μαραίνεσθαι τοὺς τῆς προθυμίας ἀνθέρικας, μήτε χειμῶνί ποτε συστολῆς καὶ ἐνδόσεως τὴν τῶν ῥιζῶν πλατύτητα ὑποκαίεσθαι, ἀλλ᾽ ἐφ᾽ ἑκάστης ἡμέρας καὶ νυκτὸς
[p. 6] ὡρονομίας προφανῶς αὔξειν καὶ ἑαυτοῦ μείζονα γίνεσθαι. καὶ δείξει τὸ πέρας τοῦ λόγου, ὅπως οὐκ ἔστη μέχρι μέγας ἐγένετο, καθὰ γέγραπται, προβαίνων ὁ ὅσιος.

8. μέσῳ δὲ τῆς τρίτης ἡλικιώσεως χρόνῳ, ὅπερ δὴ ἀριθμεῖται ἔτος ὀκτωκαιδέκατον, διεπλάττετο καὶ σχῆμα τῆς φύσεως, οἷάπερ ἀληθῶς ψυχῆς ἀγαθότητι, πλέον ἢ καὶ διαδεῖξαι ὁ λόγος ἰσχύσειεν· γέγονεν γὰρ τῇ τοῦ ἰούλου πρὸς τὴν ὑπήνην ἐνστεφανώσει ἄλλο τι καὶ οὐχ ὡς ἐγινώσκετο πρότερον, διότι πρὸ γενειάδος λευκότητι καὶ μόνῃ κατεκαλλύνετο, τότε δὲ καὶ τὴν ἐκ τριχῶν εὐπεριφερῆ στεφάνωσιν τῷ προσώπῳ

ἀναβλαστήσας καὶ τὴν τῶν χαρωπῶν ὀφθαλμῶν μεγαλειότητα ἐξηνεωγμένος, τήν τε πρὸς αὐτὰ ἀμφερυθρότητα τῷ κυανῷ τῆς κόρης καὶ τῶν παρειῶν ἐρεύθει ἀνθοπρεπῶς ἐστολισμένος καὶ τῇ ἐπ᾽ ὀφρύας {καὶ} μαυροειδεῖ ἐπιστοιβάσει ὡραϊσμένος παρεῖχε τάχα τοῖς ὁρῶσι τὰς ἀφορμὰς τῶν ἐγκωμίων, πάντα νοεῖν ἐπ᾽ αὐτῷ καὶ καλεῖν αὐτόν, ὅσα τὸν Δαυὶδ ὁ λόγος εὐεπιθέτως εὐφημῶν προσεφθέγγετο, χαροποιὸν δηλαδὴ καὶ τὰ ἕτερα, μετὰ τοῦ ἐν ὀφθαλμοῖς κάλλους καὶ τῆς κατὰ θεὸν καρδίας, ἧς μεμαρτύρηται. ἀλλὰ μὴν οὐδὲ τοῦ Σαμψὼν ἀπελείπετο τῆς εὐμεγεθότητος, κἂν οὐ τὸ ὅλον τῆς δυναστείας ἐκέκτητο· πλήν τῷ κρείττονι ὑπερέκειτο, τὴν καθαρότητά φημι καὶ ἁγνείαν, ἧς ἡ ἀντάλλαξις ἐκεῖνον διώλεσεν, τούτῳ σωθέντι τῇ κτήσει ταύτης καὶ τῷ συνθήματι.

9. τούτῳ τοὺς ὀφθαλμοὺς ἐπιβαλόντων πολλῶν καὶ ἐνωραϊζομένων ὡς ἐξαιρέτῳ ἀγάλματι, ἡ μήτηρ, καὶ πρὸ πάντων ὁρῶσα τὸ κάλλος τοῦ ἑαυτῆς ὅρπηκος, καρπὸν μετ᾽ ἐγκωμίων καὶ γλύκασμα συμφύλοις ἰδεῖν ἐπεθύμησεν καὶ πρὸς τὸν νεοττὸν ἀνεφθέγγετο· «δεῦρο δή, τέκνον, ἀναπλέξω παστάδα σοι καὶ δήσω σοι *** [λαχυνα] πολυπλόκου ποικίλσεως, ἀκούσω τε ᾀδούσης συμφωνίας λυρῴδημα καὶ ἴδω κεφαλαῖς ἐν τῇ σῇ καὶ ἐν τῇ ἡρμοσμένῃ σοι εὐλογίας τὸν στέφανον καὶ προσκαμοῦμαι ταῖς εὐωχίαις αὐτόχειρ διάκονος. ἴσως καὶ μάμμη κληθῆναι ἀξιωθήσομαι, νέων ὠδίνων

ἐπὶ ἐγγόνοις χαριτουμένη τὴν ἀναπόλησιν.» ὁ δὲ τὰ τέως κυοφορούμενα ἐν τῇ γαστρὶ τῆς διανοίας θειότερα ἐνθυμήματα τῆς ἠπιότητος καὶ μητροπειθοῦς συνηθείας τοῖς ῥακίοις ἐνσπαργανῶν εἴκειν ἐδόκει τῇ τῆς κυρίας βουλῇ καὶ μηδὲν ἀντιλέγειν καθ᾽ ὁτιοῦν εἰς τὸ παντελές.

[p. 7]

10. πάντων τῶν εἰς τοῦτο συμβαλλομένων ἐναγωνίως ἀθροιζομένων, ἐπιλαβούσης τῆς ἀρρωστίας προενυμφεύθη τοῦ παιδὸς ἡ τεκοῦσα ὡς ἐν παστάδι, ἀντ᾽ ἀγκαλῶν ἀνδρῴων ταῖς τοῦ υἱοῦ χερσὶν ἐντυμβευθεῖσα τῇ λάρνακι. ὃν ὁ τοῦ πανώλους παῖς Κωνσταντίνου Λέων ὁ χλιαρώτατος καὶ εἰς ὁπότερον, ἀγαθόν τέ φημι καὶ χεῖρον, ἀνέκβατος [λεγε· εὐέκβατος], τὸ νοσεῖν τὴν μητέρα παραμυθούμενος, στράτορα οἰκεῖον πεποίηκεν, τιμῇ τὴν λύπην, ὡς ᾤετο, ἐξιώμενος ἢ τάχα ἀνθ᾽ ἵππου βασιλικοῦ τὸ μητρῷον ἐξοδιφόρον σκιμπόδιον ἐκστρῶσαι τοῦτον προχειρισάμενος. ὃς καὶ ὡς εἰς τοῦτο τεταγμένος παναληθέστατα, τῇ τεθνηκυίᾳ εὐνοϊκῶς συνεκδημεύσας κατὰ τὸ ἀνεπίληστον καὶ ὡς πρὸς ζῶσαν ἀντιπαρατιθεὶς τὸ τοῦ βίου εὐπάροιστρον καὶ τῶν χρημάτων καὶ τῶν κτημάτων καὶ οἰκετείας καὶ φίλων καὶ δόξης καὶ συγγενείας τὸ πρὸς τὴν ἐπιδεᾶ ὥραν τοῦ θανάτου ἀσυνεγχείρητόν τε καὶ ἀβοήθητον καὶ διὰ τοῦτο ἀπειπάμενος κόσμον τὸν σύμπαντα,

τοῦτο ἐτίμα τὸ λογίζεσθαι τὴν ἐξοδίαν καὶ ἐννοεῖσθαι τὴν ἀποβίωσιν, οὐ μὴν ἥδεσθαι ταῖς βασιλέως τιμαῖς, οὐδὲ φροντίζειν τῆς αὐτῷ παραστάσεως. ὢ ψυχῆς ἔμφρονος καὶ ἀγχινοίας μὴ δεχομένης ἀμβλύτητα· ὢ κρίσεως εὐεξετάστου καὶ πολυερευνήτου δικάσεως· ὢ ἐπικλήσεως τῷ δικαίῳ καὶ ἐπὶ τῷ δεξιῷ προσθέσεως οὐκ ἐχούσης ἐπιτιμίαν ἔτι σολομώντειον τοῦ μὴ ἐκκλίνειν δεξιὰ ἢ εὐώνυμα διὰ τὸ μὴ ἐν ἀπάτῃ εἶναι δεξιόν, ἀλλ᾽ ἐν ἀληθείᾳ πεφυκέναι δεξιόν, καθ᾽ ὃ καὶ περισσεύειν εἰς πᾶν ἔργον ἀγαθὸν κελευόμεθα, μηδὲ ἑστάναι προσαναβαίνοντες ἀρετῆς βαθμίσιν ἐπιτετράμμεθα· "στάσις" γὰρ "ἐστὶν" φησὶν ὁ μέγας Γρηγόριος "κάκιστον." διὸ δὴ καὶ συμβουλεύει λέγων· "ἐπείγεο δὲ ὡς καταμάρψων, μέχρι σε καὶ πυμάτην ἐπὶ βαθμίδα Χριστὸς ἀνάξει." ἐφ᾽ ἣν ὁ μέγας Θεοφάνης ἀτενὲς βλέπων καὶ ἀσκαρδάμυκτον εἴχετο τῶν κεκριμένων καὶ ἐφρόνει τὰ δεδογμένα, μήτε συνδέσμοις ζευξιγαμίας κατασχολούμενος, μήτε πλούτου περιαντλήσει καὶ κάλλους ὁρωμένου μνηστρικοῦ λόγον ποιούμενος, ἀλλὰ μὴν καὶ τὸ φαινόμενον καὶ προσζευγνύμενον κάλλος καὶ τὸν περικεχυμένον πλοῦτον καὶ ἅπαντα σὺν ἑαυτῷ εἰς οὐρανὸν ἀκοντίζων καὶ θησαυρίζων εἰς τὰ ταμιεῖα ἀνέκλειπτα.

11. τοῦ οὖν μητρῴου θρήνου τῇ κατ᾽ ἀνθρώπους διωρισμένῃ συνηθείᾳ λωφήσαντος, ἡ μὲν κρίσις ἡ δόξασα τούτῳ μὴ ἠγαπηκέναι τὸν κόσμον μηδὲ τὰ ἐν

αὐτῷ ἐσφράγιστό τε κατὰ ψυχὴν αὐτοῦ καὶ πεπαγίωτο. ὁ δὲ κηδεστὴς αὐτοῦ ἐξεβιάζετο αὐτὸν καὶ κατέπειγεν ἐκπληρῶσαι τὸν γάμον καὶ
[p. 8] συντελέσαι ἤδη τὸ προκατασκευασθὲν συνοικέσιον. οὗπερ ἐπ᾽ εὐλογίαις καὶ εὐωχίαις τὴν ἡμερινὴν λαβόντος ἐξάνυσιν, ἡ νυκτερινὴ διεδέχετο μετὰ συμφωνιῶν μουσικῶν καὶ αὐλῶν καὶ κρότων κρυφία παραπομπή. καὶ τὰ τῆς ἀνθρωπίνης πλάσεως ἔργα τελεῖν ἐν αὐτῇ τὸν ἀγγελόφρονά τε καὶ φίλαγνον ἡ τῶν παρόντων ἀγχιστέων καὶ συναρμοστῶν πληθὺς ἀποκλείουσα προσκατέμενεν. καθεσθέντων δὲ ἀμφοτέρων ἐν τῇ παστάδι μεμονωμένως, διηπόρει ὅθεν ἄρξαιτο ἀνακαλύπτειν τὰ μεριμνώμενα ὁ νυμφίος τῇ νύμφῃ καὶ ἐλογίζετο, ὡς μή ποτε οὐκ εὔσχημον τὴν ἀρχὴν ποιησάμενος ἀπαράδεκτον εὑρήσει πρὸς τὸ μελετηθὲν μυστήριον καὶ κρυπτόμενον. ἔτι γὰρ θησαυρῷ τῷ τῆς καρδίας αὐτοῦ τεταμίευτο καὶ μόνον εὐκτικῶς πρὸς τὸν θεὸν ἐλαλεῖτο, παρ᾽ οὗ καὶ ἔσπαρτο καὶ τετήρητο. καὶ δὴ βαθὺ στενάξας καὶ τούτῳ δείξας τῶν λογισμῶν τὴν συνέχειαν λέγει πρὸς αὐτὴν ἐμβλέψας θαυμαστικώτερον· «ὦ γύναι, τί τὸ πέρα τὸ τοῦ κόσμου ὄφελος ἡμῖν καὶ τίς ἡ ἐν αὐτῷ ἀναστροφὴ καὶ περίκλεισις ἢ τί τὰ μετά ταῦτα συμβαίνοντα ἅπασιν ἆρα μιμνήσκει τόνδε καὶ ἀναπολεῖς τοῦτον πῶς ὁ μὲν εὐπραγήσας ἐπὶ μηκίστοις τοῖς ἔτεσι καὶ πᾶν καταθύμιον, σολομωντείως φάναι, οὐκ ἀποκωλύσας τῶν ὀφθαλμῶν αὐτοῦ, εἶτα τῷ φυσικῷ κατακαμφθεὶς

θανάτῳ καὶ τῷ τῆς ἐξοδίας ἐγγίσας καιρῷ οὐδὲν μὲν ὅ τι τούτων ἀπώνατο ἢ πρὸς τὴν μετοικίαν συνείληφεν, λελόγιστο δὲ τάχα ὡς μὴ ἐζηκὼς μίαν ἡμέραν τὴν πολυχρόνιον ἑαυτοῦ βιότητα, ὁ δ᾽ ἄλλος αὖθις μικρὰς ἡμέρας ἀνιαροῖς προστυχὼν καὶ τοῦ θανάτου τότε, ὥς φησιν ὁ Ἰώβ, ὁμειρόμενος [λεγε· ἱμειρόμενος], οὐ μὴν δὲ τευξάμενος, ὅμως κατὰ μικρὸν ἀνακωχήν τε καὶ ἔνδοσιν <λαβών>, ἐπειδὴ πρὸς τὸ ποτήριον τοῦτο ἤλυθεν ἀπαραίτητον, ἠλέγχετο ψευδόμενος ὅπερ ηὔχετο, καὶ δεδιὼς καὶ τρέμων τὴν ἐπὶ θάνατον ἀπαγωγὴν ἔβλεπεν, εἰ πικρὸς οὕτως ὁ θάνατος, ὡς γέγραπται, λογιζόμενος. ἑτέρα δὲ καὶ ἄλλη, τοῖς αὐτοῖς ἀγαθοῖς ἤ τοι κακοῖς ἐγκύρσασαι καὶ τευξάμεναι, {καὶ} ὡς ἡ φύσις ἐλέγχεται, θανάτῳ κρατηθῆναι ἢ ἐργασάμεναι ἀγαθὰ μερικά τε καὶ πλείονα, ἢ μηδ᾽ ἀκροθιγῶς ἁψάμεναι τῆς τῶν ἐντολῶν φυλακῆς, ὡς ἀπροσεχέστεραι, μεταμέλονται μὲν τῆς ἀμελείας καὶ τὸ κριτήριον φρίττουσιν, λογίζονται δὲ τὴν παροῦσαν βιοτὴν ἅπασαν, ὡς οὐδὲ γεννήσεως αὐταῖς κατευμοίρησεν, καὶ στένουσι πικρῶς καὶ ἄχθονται ἰσχυρῶς πρὸς τὴν ἀπὸ τοῦ σώματος ἀνεπίστροφον τέως ἔξοδον. ὡς εὐτελὴς ἡ εἰς τὸν βίον εἴσοδός τε καὶ ἔξοδος, ὡς ἐοικυῖα αὐτὴ ἑαυτῇ καὶ ἄδοξος κατ᾽ ἀμφότερα. <ἐκ> φθορᾶς γὰρ γεννηθέντες [p. 9] διὰ φθορᾶς ἀναλύομεν, καὶ οἵαν εἰσαγωγὴν ὁ κόσμος διὰ ῥοῆς ἐπιδέχεται, τοιαύτην ἐξαγωγὴν πάλιν δι᾽ ἐκροῆς ἐπιδέχεται.»

12. οὕτως ἀπορουμένῳ τῷ νεωτέρῳ καὶ εὐτελίζοντι τὴν ἐγκόσμιον βίωσιν ἡ παρθένος καὶ μνῆστις ἀποκριθεῖσά φησιν αὐτῷ· «καὶ τί κελεύεις, κύριέ μου ἵνα ποιήσωμεν» ὁ δὲ τῷ μήπω θαρρεῖν εἰς τελειόφρονα λόγον ἐναγαγεῖν αὐτὴν τοῦ μερικοῦ πως καὶ μήπω παρόντος καιροῦ τὴν πραγματείαν προτέθεικεν, ἀπόπειραν ὥσπερ τῆς γνώμης αὐτῆς ποιούμενος, καί φησιν· «ἵν᾽ ὅτε λειτουργήσαντες τῇ φύσει ἁρμόδια τὸ τῆς νεότητος ὑπέκκαυμα εἰς μαρασμὸν ἐξαναφθῆναι ἐάσωμεν, ὡς ἂν καὶ τὸ ἐκ τύφου κέρας κλῶτον [λεγε· κλῷτο] ἡμῖν τοῦ μὴ καὶ τῶν τῇ φύσει προσχρησαμένων εὐπτώτως [λεγε· ἀνυπόπτως] ποτὲ κατεπαίρεσθαι, ἐπειδὰν καὶ ἡ ἡλικία ἐπικληθείη εἰς χαύνωσιν, μάθοιμέν ποτε μελετήσαντες τὸ σωφρονεῖν καὶ ἁγνεύεσθαι. πάντως γὰρ ἤκουσας τοῦ ἀληθινοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἔργῳ τὴν παρθενίαν πιστῶς μακαρίσαντος τῷ ἐκ παρθένου τεχθῆναι, τῆς ὑπεραγίας δεσποίνης ἡμῶν, ἣν καὶ πᾶσαι αἱ γενεαὶ ἀπὸ τότε καὶ εἰς τὸν αἰῶνα, ὡς προεφήτευσεν, μακαριοῦσιν καὶ μακαρίζομεν.» καὶ λοιπὸν μετ᾽ ἄλλων πολλῶν καὶ τὸ Ἀμοῦν τοῦ Νιτριώτου προέθηκεν αὐτῇ ἁγνὸν ἔδεσμα, οὗ δηλαδὴ καὶ τὸν βίον ζηλῶσαι θεοκατευόδωτα ἔμελλον. πρὸς ταῦτα ἑτοίμη ἡ ἄκακος περιστερὰ καὶ φίλαγνος τρυγὼν ἀποκρίνεται· «τί οὖν κωλύει, ὦ κύριε, τὴν ὑστερόνοιαν δι᾽ εὐβουλίας προσκατακτήσασθαι καὶ τὴν μεταμέλειαν ἐπιμελείας ἀμείψασθαι, ὡς ἂν μὴ χάριν τοῦ θείου ἐλέου ἀπορρίψαντες χρεωστῶμεν ἀλόγιστα κόλασιν»

13. ταῦτα ἀκηκοὼς ὁ τῆς ἀγαμίας ἀνὴρ καὶ τῆς ἀρετῆς τεκνοποιὸς ὅσιος πίπτει πρηνὴς πρὸς τοὔδαφος καὶ τῷ θεῷ προσεκύνησεν, «εὐχαριστῶ σοι» λέγων «ἁγνῆς συνέσεως σπορεῦ, κύριε Ἰησοῦ Χριστέ, ὁ συναΐδιος τῷ ἀχράντῳ πατρί σου καὶ τῷ παναγίῳ σου πνεύματι, ὃς ἐλάλησας ἐν τῇ δούλῃ σου διπλᾶ πρὸς τὴν πεῦσίν μου καὶ τῇ ἐμῇ δοκιμασίᾳ τῆς ἀποκρίσεως ἀδιάστολον ῥῆμα τὸ ἐν τῷ νοΐ τῷ εὐτελεῖ μου κρυπτόμενον ταύτην ἐπεστομάτισας κἀντεῦθεν ἐν πνεύματι νύμφην αὐτὴν εὐτρεπίσω μοι, ὁμογνωμονήσασαν ἅμα καὶ ὁμονοήσασαν ἀπερίσκεπτα, ὡς εἶναι σύμφρονα τάχα ἀντὶ συσσώμου τῷ δούλῳ σου, γενέσθαι δέ σοι τῷ κυρίῳ μᾶλλον τῇ διὰ σώματος καθαρότητι κολλωμένην κατόπισθεν ἓν πνεῦμα, ὡς ἔφη ὁ ὑψηλός σου ἀπόστολος.» δάκρυσι τοίνυν ἀντὶ μύρου τὰς παρειὰς ἀλειψάμενος καὶ τῇ τούτων ἀντ᾽ ὀσφρήσεως [p. 10] θέᾳ τὴν τῆς μνήστιδος ψυχὴν τὸ ὁρᾶν εὐοδιάσας πέπεικε λοιπὸν κοινῇ συνθεμένους εἰς ὀσμὴν δραμεῖν τοῦ κυρίου <καὶ> τῶν διὰ παρθενίας εὐοδούντων αὐτῷ, ὡς ἂν ἑλκύσειαν αὐτὸν τὸν μόνον φιλόψυχον. τότε δὴ προσομολογεῖ αὐτῇ εὐθύμως καὶ ἀναφθέγγεται, εἰπών· «ἀπὸ τοῦ νῦν ἀληθινὴ καὶ γνησία σύμβιός μου εἶ σύ, ὦ κυρία καὶ ἀδελφή, κοινωνός τε τοῦ βίου καὶ νῦν καὶ εἰς αἰῶνα τὸν μέλλοντα.» ἡ δὲ ταυτολογίᾳ τοῦτον καὶ τῷ ὁμοίῳ ὅρῳ ἀμείβεται, εἰποῦσα ὅτι· «ταὐτὸ κἀμοί, ὁ κύριός μου.» «οὐκοῦν» ἔφασαν ἄμφω κοινῇ τῷ θεῷ προσκυνοῦντες «ᾄσομεν

καὶ ψαλοῦμεν δοξούμενοι καὶ τὰς αὐτοῦ δυναστείας ἐκδιηγώμεθα, ἐξομολογούμενοι τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ πρακτικῶς μετερχόμενοι.»

14. ἀπὸ γοῦν τῆς ὥρας ἐκείνης καὶ ἐφεξῆς ἐτέλουν πάσας ἡμερινάς τε καὶ νυκτερινὰς λειτουργίας θείαις χάρισιν ἀπαράλειπτα, νηστείαις καὶ ἀγρυπνίαις καὶ χαμευνίαις σχολάζοντες πάντοτε, δι᾽ ὧν καὶ τὸ θεῖον ἐν μέσῳ ἐκτήσαντο συντηροῦν αὐτοὺς καὶ σῷζον καὶ οἷον ἐπευλογοῦν κατὰ τὸ ὑπ᾽ αὐτοῦ εἰρημένον· ⸂ὅπου εἰσὶν δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.⸂ τοῦτο γοῦν πιστούμενος ὁ πανεύσπλαγχνος εὐωδίᾳ τὴν ἑαυτοῦ παρουσίαν ἐπεδείξατο <ἐν> τῷ ψάλλειν αὐτοὺς αὐτῷ καὶ ᾄδειν ἐννύχια, ὑπερεκπλήσας μυρωδίας τὸ οἴκημα, ὡς ὄντως ὢν καὶ καλούμενος ἐκκενωθὲν μύρον ἀδιαρρόως ἀπὸ πατρικῶν κόλπων εἰς τὴν ἡμετέραν ἐν κόσμῳ ἐσχατιὰν καὶ πᾶσαν κατευφραίνων, ὡς γέγραπται. ἄμφω δ᾽ ἐπ᾽ ὄψιν πεσόντες περιδεεῖς ἐκ τοῦ θαύματος ἐπὶ πολλὰς ὥρας τὸν τοῦ κυρίου ἐξεκαλοῦντο ἔλεον, ὡς ἐπέοικεν· τὸν γὰρ τοῦ ἐλέους ἐπίκλητον ψαλμόν, ὅνπερ πεντηκοστὸν καλοῦμεν {καὶ} ἔψαλλον καὶ ἀνηρίθμως εἰπόντες τὸ ⸂κύριε ἐλέησον,⸂ μόγις ἀναστάντες τῆς εὐκτικῆς γονυκλισίας τοὺς ὕμνους ἐπλήρωσαν. πρωῒ δὲ καὶ καθ᾽ ἡμέραν τοῖς δεομένοις τὰ χρήματα ἐπεμέριζον, ἐπόθουν τε λαβέσθαι καιροῦ καὶ τὴν ἐγκόσμιον βιοτὴν εἰς ὑπερκόσμιον ζωὴν μετατάξασθαι.

15. τοῦτο οὖν μαθὼν ὁ ἀλωπεκόφρων Λέων, τοῦ νεστοριανοῦ φημι Κωνσταντίνου ὁ παῖς ὁ Χαζάρειος, διόμνυται τὸ θεῖον κράτος ὁ δυσσεβέστατος ἐκκόψαι τοῦ νεανία τὰ ὄμματα, εἰ τοῦτο βουληθείη διαπράξασθαι· προσέτι γε μὴν καὶ ἑκυρὸς ὁ τούτου συνείργει τῇ τοῦ τυράννου βουλῇ καὶ διεκώλυεν τοὺς [p. 11] νέους τοῦ ἐνθέου σκοποῦ αὐτῶν· ἐξ οὗ καὶ φυγὴν ἐβουλήθησαν χρήσασθαι. ἠσχόλησε γοῦν ἡ βασιλέως χεὶρ τὸν θαυμαστὸν ἄνθρωπον τῷ τῆς Κυζίκου κάστρῳ συγχειρίσοντα πορευθῆναι (ἤδη γὰρ τότε ἐκτίζετο). καὶ ἀπελθὼν ὁ φιλόπτωχος <ἐξ> ἰδίων ἀναλωμάτων τὴν τοῦ κρατοῦντος δουλείαν πεπλήρωκεν, τὴν ἀπορίαν τοῦ πανευφήμου Παύλου ἐφ᾽ ἑαυτῷ δι᾽ ἔργου ἀποκρινάμενος, ἰδίοις ὀψωνίοις στρατευσάμενος, ὅπερ πείθεται, ἐπεὶ τάχα τοῦτον ἐκεῖνος προεξεπαίδευσεν, ἀδάπανον τεθεικὼς ἐν Ἀχαΐᾳ τὸ εὐαγγέλιον εἰς τὸ ἐκκόψαι, φησίν, τὴν ἀφορμὴν τῶν ζητούντων ἀφορμήν, ὥσπερ λέγεται. καὶ μὴν καὶ οὗτος εἰς τὸ ἐν πᾶσιν ἑαυτὸν ἀβαρῆ τηρῆσαι τοῖς ἑπομένοις (τοῦτο γὰρ καὶ ἡ πρόφασις τοῦ τὴν ἀφορμὴν τῶν ζητούντων ἐκκόψαι) τοῦτο ἐνείργησεν.

16. τηνικαῦτα τοιγάρτοι κατὰ πάροδον πορευόμενος παραβάλλει τινὶ γέροντι ἁγίῳ κατὰ τὸ τῆς Σιγριανῆς ὄρος, καλουμένῳ Γρηγορίῳ, καὶ τὰ τῆς βουλῆς ἀνακοινοῦται τούτῳ καὶ τὴν μελέτην ἀπογυμνοῖ τῆς φυγαδείας καὶ τὴν κρίσιν ἐξαπαιτεῖ τὴν τῶν

ὑποθέσεων, ὃ δ᾽ ἂν κελεύσῃ καὶ συγκρίνῃ καὶ συμβουλεύσῃ, τοῦτο ἀκουσόμενος. ὃς θεοφορούμενος καὶ προορώμενος τὰ εἰκότα ὅτι μάλιστα, ὡς γρηγορῶν τὸ ὄμμα τῆς διανοίας καὶ φερωνυμῶν τὴν κλῆσιν ταῖς εὐπραγίαις, ἅτε ἤδη περὶ τούτου προμεριμνήσας καὶ χάριν τούτου κεκινημένος τὰ πρὸς τὸν νέον, εὐθὺς ἑτοίμως καὶ ἀσυστόλως φησὶν αὐτῷ· «οὔτε φυγῆς σοι χρεόν, οὔτε μεταβάσεως πώποτε, ὦ νεώτερε· ὁ γὰρ βασιλεὺς καὶ ὁ πενθερός σου, οἱ δείλαιοι, μεθίστανται τοῦ κόσμου τάχα ἐν ταύταις, καὶ φανερῶς εἰσέρχεσθε πρὸς θεόν, ἐξερχόμενοι τῆς ματαιότητος αὐτεξούσιοι.» πρὸς δ᾽ ἄλλους τινὰς τῶν γνωρίμων καὶ τοῦτο προσέθηκεν ὁ διορατικώτατος, ὅτι μαρτυρίου μέλλει ὁ νεανίας οὗτος ἀξιοῦσθαι κατὰ καιρὸν τὸν προσήκοντα. ἦν οὖν ὁ μακάριος Θεοφάνης ἀντὶ βασιλείου ἵππου χρυσοχαλίνου τῷ τοῦ ἐνθέου γέροντος ζῴῳ ὑπηρετούμενος καὶ στρατορεύων αὐτῷ μετὰ τὴν ὁδοιπορίαν αὐτόχειρ πανεύθυμα. τοῦ δὲ πονηροῦ δαίμονος ταῖς ἐπιβουλαῖς φθονηθεὶς ὁ ἀήττητος προσέκοψε πρὸς λίθον τὸν πόδα καὶ δύο τῶν ὀνύχων ἐξώρυκτο. οὐκ ἐστράφη δ᾽ ἐπὶ τούτῳ ὁ καρτερώτατος οὐδ᾽ ἐλογίσατο ἄλγος, καίπερ τοσοῦτον ὄν, εἰς ἄχθος ἤτοι ἐμπόδιον· εὐθὺς δ᾽ ὁ γέρων τὴν φθονερὰν αἰτίαν, τοὺς μισανθρώπους καὶ ψυχοφθόρους εἰς τοὐμφανὲς τῷ λόγῳ δεδήμευκε δαίμονας, «ὁρῶ ὑμᾶς», εἰπών, «ὁρῶ· καὶ μάτην ταράττεσθε, οὐ τὸν τοῦ θεοῦ παῖδα
[p. 12] ἀλλ᾽ ἑαυτοὺς συγκόπτοντες καὶ ἀλγύνοντες·

οὐδὲν γὰρ μετὰ τοῦ νεωτέρου, θεοῦ βοηθοῦντος, δύνασθε, ὦ ταλαίπωροι.» ταῦτα <εἰπὼν> καὶ πλήρη τὴν διακονίαν ποιήσας ὁ παμπληρέστατος, λαβὼν τὰς εὐχὰς τοῦ πανοσίου πρὸς ἐπανάλυσιν καὶ στοιχηθεὶς τῷ ὅρῳ τῆς προφητείας ἧς συνεβούλευσεν, πρὸς τὰ οἰκεῖα ὁδεύσων ἐπέβλεψεν.

17. βουλόμενος δὲ παρουσιάσαι καὶ ἑτέροις τοῖς κατὰ τὸ αὐτὸ ὄρος γέρουσιν, πλανήτης ὠψίσθη τὴν ὁδὸν καὶ τῇ βραδυτῆτι οὐχ οἷός τε ὢν διευθῦναι τὴν ἄλλην, ἔμεινε μετὰ χώρας ἅμα τοῖς συνοῦσιν αὐτῷ, τῇ ἐρημίᾳ κεκυκλωμένος, τῷ δίψει περιφρυγόμενος καὶ ἀνυδρίᾳ τρυχόμενος. ὕπνῳ δὲ τὴν τῶν ὑδάτων ἀνθελομένων πληροῦν ἑαυτοῖς ἔλλειψιν, ἢ καὶ τὴν ἔκλυσιν τῆς ὁδοιπορίας βεβουλημένων τονῶσαι χαλάσασαν (παρέλκει γὰρ φλόγωσιν χειλέων ἀφύπνωσις, καὶ νεαρὸς μεθ᾽ ὕπνον ὁ ἐκλυθεὶς ἄνθρωπος), ἕκαστος ὡς εἶχε στρωμνῆς ἐπὶ τῆς γῆς κατεκλίθησαν ἅπαντες. ὁ δὲ μέγας Θεοφάνης τάπητι ἐπευκτικῷ προσανεκλίθη, προσυντετελεκὼς τὴν εὐχήν, ὡς τὸ σύνηθες. καὶ παρευθὺ πίδαξ, φλέψ, πηγὴ ὕδατος ὑπὸ τὸ κατὰ τὴν πλευρὰν αὐτοῦ μέρος ἔβλυσεν, ὥστε ὑπονοτίσασαν τὴν στρωμνὴν ἀναδῦναι· καὶ τῇ ἁφῇ γνωσθεῖσα, φωνῇ μὲν αὐτὸν τοὺς συνεκδίψους ἐπιβοήσασθαι, χερσὶ δὲ τούτοις ἀρκούντως ἀντὶ σκαπάνης χρησαμένοις καὶ τὸν τόπον κοιλάνασιν ἰάσασθαι τὴν δίψαν τῷ πόματι καὶ ἀναπέμψαι κυρίῳ εὐχαριστίαν ἑνὶ στόματι· πρωῒ δὲ ἰδεῖν τὸ νυκτὸς θαῦμα ἐν ὀφθαλμοῖς ἤδη οὐκ

ἔσθενον, τῇ δ᾽ ἐνεργείᾳ τὸ βέβαιον ἐγίνωσκον, εἰ καὶ ὁ τόπος τὴν ἰκμάδα μετὰ τοῦ νάματος κατεξήρνητο· ἐδείκνυτο γὰρ ἔνθεν ἀριδηλέστατα, ὡς τῇ χρείᾳ τὸ θαῦμα ἑσπέρας παρείπετο καὶ τοῦ ὁσίου τὸν μόχθον ἡ χάρις διέλυεν ἔννυχα, ὡς ἂν καὶ πιστεύηται παρὰ τῶν συνεκδίψων τὸ θεοδώρητον ὕδρευμα καὶ πιστεύῃ αὐτὸς ἑαυτοῦ, ὡς ἀεί, καὶ τότε τὸ θεῖον ὄμμα προβλεπτικῶς προνοούμενον. οὐ μὴν ἔμενεν ἐπὶ τόπου τὸ ῥεῖθρον ἀέννασ, ἵνα μὴ παρατυχία τις ἢ προέκβλυσις τὸ εὐκταιόβρυτον καὶ θεόσδοτον ἐκεῖνο πόμα κρίνοιτο, ἀλλ᾽ ἵνα ᾖ καὶ τότε τοῖς ὁρῶσιν καὶ νῦν τοῖς ἀκούουσι γινωσκόμενον, ὡς ἕνεκα ἐκείνου μόνου τοῦ θείου ἀνδρὸς προφανὲν εὐχαρέστατα καὶ διὰ τοῦτο μετὰ τὴν χρείαν τῶν κεχρημένων αὐτῷ συσταλὲν καὶ ἀμπωτιάσαν θεόκριτα.

18. τί τοῦτο τῆς Μωσέως ἐξ ἀκροτόμου πέτρας ναματώδους παραγωγῆς ἀτιμότερον, εἰ καὶ τῷ χρόνῳ πανεσχατίζει μακρότερον ὅπερ οὐκ ἀρετὴ [p. 13] συνίστησι δεύτερον, ἀλλὰ τὸ μεταγενέστερον εἶναι πολλαῖς ἔτι γενεαῖς παρίστησιν ὕστερον. ἢ τάχα καὶ μεῖζον ποσῶς ὑπάρχει, εἰ κρίνοιτο, καθ᾽ ὃ οὔτ᾽ αἰτήσας, οὔτε δεηθεὶς εἴληφε Μωσῆς ὁ ἡμέτερος, ἀλλὰ τῇ καρτερίᾳ μόνῃ τὴν παράκλησιν εὕρετο, εἰδότος ἄρα θεοῦ τοῖς τὴν αὐτοῦ βασιλείαν ἐξαιτοῦσιν αὐτὸν καὶ τὰ λοιπὰ πάντα προστιθέναι, ἅπερ καὶ χρῄζουσιν, καθὰ γέγραπται. ὁ μὲν γὰρ ὅσιος νεανίας οὕτως, ὡς εἰς ἑαυτόν, τοὺς μετ᾽ αὐτοῦ πεπαιδευκὼς φιλεγκράτειαν,

οὔθ᾽ ὑποτρίζει γογγύζων πρὸς κύριον, οὔτε πειράζει διστάζων, εἰ ἔστιν ἐν αὐτῷ κύριος, οὔτ᾽ αὖ προθέσει <θέλει ορ αἱρεῖται?> δεικνύναι θαυματουργὸν ἑαυτὸν αὐτομάρτυρα, ἀλλὰ καὶ φέρει τὸ δίψος ἐγκαρτερῶν ἐγκρατέστατα καὶ ἐμπιστεύει τὴν χάριν, εἰ τῷ κυρίῳ δοθῆναι κρίνοιτο, συμφερώτατα, καὶ οὐ προ{σ}τίθησιν ὅλως, οὐδὲ προμνᾶται κυρίου τὴν δωρεὰν δι᾽ ἐντεύξεως· διὸ σὺν πᾶσιν καὶ οὗτος ὁμολογεῖ φλογοῦσθαι καὶ τὴν γλῶσσαν συγκαίεσθαι, ὅμως στοιχεῖ τῷ κυρίῳ ὁρῶντι πρὸ ὑποδείξεων καὶ οὐκ αἰτεῖ τὴν λύσιν τὸν κατακούοντα πρὸ ἐγκλήσεων [λεγε· ἐκκλήσεων], ἀλλὰ τῇ κρίσει συννεύει τοῦ συνιέντος εἰς ἕκαστα καὶ τῇ κελεύσει τῇ θείᾳ καθυποτάττεται ἐμφρονέστατα, ὥστε τοὺς συνήθεις καὶ μόνον ὕμνους αὐτὸν ἀναπέμψαντα εὐθὺς ἀνακλιθῆναι πρὸς τῇ μικρᾷ κοίτῃ, ὡς εἴρηται, πανευχάριστα. ἡ δὲ μὴ βραδύνουσα χάρις καὶ εὐπετὴς ἐλπὶς τοῖς θεόφροσι νοτίδι πρὸς τῷ πλευρώδει μέρει ἐγκαθυγραίνει ὕδατος τὸν τρισόσιον καὶ ὡς νυγμῷ δακτύλου τῇ τῶν ὑδάτων ψυχρίᾳ τοῦτον ὑποκεντήσασα ἐγείρει στρωμνῆς θᾶττον ἢ λόγος πρὸς δίψης ἐξίασιν· καὶ τοῖς συνεγκρατέσι παρακαλεῖται πιὼν τὸ θεόβρυτον καὶ οὕτως εὐχαριστήσας πρὸ τοῦ ποτοῦ καὶ μετὰ πῶμα τῷ προμηθεῖ θεῷ ἡμῶν ὑπνοῖ ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ καὶ καταμόνας κοιμᾶται, ὡς γέγραπται. οὐ μὴν ἐπαύριον ἐξεγερθεὶς σημεῖα τοῦ θαύματος μεταλιπεῖν ἐπευδόκηται, ἵνα μὴ ταύτῃ συντυχική, ἀλλ᾽ οὐ δι᾽ αὐτὸν ἡ τῶν ὑδάτων ἀνάβρυσις, ὡς ἔφαμεν, κρίνοιτο, ἔχεταί τε τῆς ὁδοῦ κατὰ τὸ ἑξῆς

τῆς τε διαβαινομένης αὐτῷ καὶ τῆς καθ᾽ ἡλικίαν, ἣν οἱ ζῶντες αὔξοντες παροδεύομεν.

19. καὶ δὴ τῷ εἰκοστῷ πρώτῳ ἐνιαυτῷ τοῦ χρόνου αὐτοῦ, ὅπερ ἐστὶν μέτρον ἡλικίας τρίτον, παντέλειον πέρας ἡ προφητεία τοῦ γέροντος εἴληφεν, καὶ λειτουργοῦσιν ἄμφω τὸν θάνατον, ὅ τε βασιλεύς, ὅ τε πενθερὸς τοῦ νεανία ὁμόχρονα, καὶ ἡ Εἰρήνη τοὺς πολεμήτορας διαδέχεται καὶ γίνεται εἰρήνη κατὰ πᾶν μέρος χριστιανῶν ἐπί τε ψυχῶν, ἐπί τε σωμάτων, ὡς ἔοικεν, καὶ σπένδεται θεῷ καὶ δόγμασι τὸ ὑπήκοον. καὶ ἦν εἰρήνη εὐφήμως ἐπὶ Εἰρήνῃ
[p. 14] αὐτοκράτορι εἰρηνεύουσα, καὶ ἤρξαντο τὰ ἔθνη φρονεῖν εἰρήνην, εἰρηνικῶς εἰρηνεύοντα, καὶ πρὸ ἐθνῶν ἤραντο ἐφ᾽ ἑαυτοὺς καὶ ἀλλήλους εἰρήνην οἱ χριστιανίζοντες, καὶ ὤλετο ἰουδαιόφρων μάχη, καὶ ἡ εἰρήνη ἐχόρευσεν, ἀνεπνέετο εἰρήνη καὶ ἐμυροδότει εἰρήνη, καὶ κατημφίαζεν εἰρήνη, καὶ ἐκαλλώπιζεν εἰρήνη, καὶ ἐζύγου σωφρόνως εἰρήνη καὶ ἐλογίζετο πᾶσιν εἰρήνη, καὶ εὐωδίαζεν εἰρήνη, καὶ ἐξηκούετο εἰρήνη, καὶ ἐψηλαφᾶτο εἰρήνη, καὶ ἐπολυγόνει εἰρήνη, καὶ ἐξήνθει εἰρήνη, καὶ ἤκμαζεν εἰρήνη, καὶ ἐκαρποφόρει εἰρήνη, καὶ ἐγυμνάζετο πᾶς πρὸς εἰρηνην, καὶ ἐποθεῖτο πᾶσιν εἰρήνη, καὶ ἐμελετᾶτο τοῖς ὅλοις εἰρήνη, καὶ περιείπετο τοῖς ἄρχουσιν εἰρήνη, καὶ ἐφρούρει τοὺς πένητας εἰρήνη, καὶ ἐτιθηνεῖτο τὰ νήπια εἰρήνη, καὶ ἐξενάγει τοὺς ἐπηλύτους εἰρήνη, καὶ ἐγηροκόμει τοὺς ἀτόνους

εἰρήνη, καὶ ἐνεδυνάμου τοὺς ἀσθενεῖς εἰρήνη, καὶ ἐτίμα πολιὰν ἡ εἰρήνη, καὶ ἐσυνέτιζεν νεωτέρους εἰρήνη, καὶ ἐσόφιζεν τοὺς ἀμαθεῖς εἰρήνη, καὶ συνετήρει φρονίμους ἡ εἰρήνη, καὶ εὐλόγει τοὺς ἐργατεύοντας εἰρήνη, καὶ ἐδιοίκει τοὺς ἀργοὺς ἡ εἰρήνη, καὶ ἔσῳζε τοὺς ἀποδήμους εἰρήνη, καὶ ἐρρύετο πειρατῶν ἡ εἰρήνη, καὶ ἀνεκαλεῖτο τοὺς αἰχμαλώτους εἰρήνη, καὶ κατήλλαττε τοὺς Ἄραβας εἰρήνη, καὶ ὑπέπειθε τοὺς ἐμπόρους εἰρήνη, καὶ ἐστενοχώρει πωλητὰς [λεγε· πολίτας?] εἰρήνη, καὶ κατεύφραινε τοὺς λαοὺς εἰρήνη, καὶ ἐπίκραινε τυράννους ἡ εἰρήνη, καὶ ὑπέταττε βαρβάρους εἰρήνη, καὶ ἐμετεώριζε σατράπας εἰρήνη, καὶ ηὔξησε τὰς ἀγορὰς εἰρήνη, καὶ ἐμείωσε τοὺς φόρους ἡ εἰρήνη, καὶ ἐπλούτιζε τοὺς πτωχοὺς καὶ ἀνώρθου κατερραγμένους εἰρήνη, καὶ ἠνδρείωσε τὸ θῆλυ εἰρήνη, καὶ ἐσόφισε τοὺς παῖδας εἰρήνη, καὶ ηὐλόγησε τοὺς καιροὺς ἡ εἰρήνη, καὶ ἐπλήθυνε γεώργια καὶ διήνοιξε ταμεῖα καὶ διήγαγε φίλους φίλοις εἰρήνη, καὶ παρήγαγε τὰς στάσεις ἡ εἰρήνη, καὶ κεκύρωκε τὴν πίστιν καὶ ἐδογμάτισε τὰ δέοντα εἰρήνη, καὶ ἐσφράγισεν τὰ δόξαντα ἡ εἰρήνη, καὶ ἀνεκαίνισε τὴν παλαίωσιν εἰρήνη, καὶ ἀνεστήλωσεν εἰρήνην ἡ Εἰρήνη, καὶ κατεστόλισεν τοὺς ναοὺς καὶ κατεποίκιλεν ἐκκλησίας ἡ Εἰρήνη, καὶ ἐγλαφύρωσεν τὰς θέας καὶ καθηγίασε τὰς ὄψεις ἡ εἰρήνη, καὶ ἀνήγειρε τὰ πεπτωκότα εἰρήνη, καὶ ἐψύχωσε τοὺς λόγους ἡ εἰρήνη, καὶ ὠμμάτωσε δικάζειν ἡ εἰρήνη, καὶ κατέφλεξε

δωροδέκτας καὶ κατέσπασεν ὑβριστὰς ἡ εἰρήνη, καὶ ἐφαύλισεν ἀδίκους ἡ εἰρήνη, καὶ παρέπεισεν εἰς εἰρήνην Εἰρήνη, καὶ ἀπέδειξεν εἰρήνην ἡ Εἰρήνη, καὶ ἐκήρυξε καὶ συνήγαγε καὶ ἐδογμάτισε καὶ ὑπέφηνε <καὶ> κατεμπέδωσεν εἰρήνην ἡ Εἰρήνη, ἡ ἐκ τῆς μόνης εἰρήνης τοῦ κυρίου Εἰρήνη ψηφισθεῖσα εἰρήνην φέρειν, Εἰρήνη εὐφημεῖσθαι.

[p. 15]

20. ταύτης γοῦν βασιλευούσης καὶ διαδιδομένης εἰρηνικῶς καὶ μετὰ προαίρεσιν τῆς τεθειμένης εἰρήνης καὶ ἐν εἰρήνῃ κειμένης τῆς ἑστηκυίας εἰρήνης καὶ ἐν εἰρήνῃ πρεπούσης τῆς ἁρμοττούσης εἰρήνην καὶ συντηρούσης εἰρήνην τῆς φρουρουμένης εἰρήνης καὶ φυλαττούσης εἰρήνην, ταύτης ἐμπολιτευομένης καὶ εἰρηναίως διεπούσης, ἐπεξουσιάζει τῶν θελημάτων καὶ κατεγκρατεῖ τῶν βουλευμάτων καὶ δεσποτεύει τῆς προαιρέσεως, τὸ ἄζευκτον ζεῦγος καὶ ἀπειρόγαμον καθόλου ἀνδρόγυνον, καὶ ἤρξαντο πωλεῖν τὸν πλοῦτον τὸν ῥέοντα καὶ ἀνταλλάττεσθαι τὰ ἀκένωτα [λεγε· ἀκίνητα?] καὶ πάντα πάντων ἀμείβοντα καὶ ὅλα ὅλων ἀντιδιδόασιν καὶ τὴν οἰκετείαν μικτῆς φύσεως πᾶσαν μετὰ λεγάτου ἐλευθερώσαντες ὑπογράφουσιν ἑαυτοῖς ἧπερ ἐκείνοις τὸ ἐκ μερίμνης ἐλεύθερον καὶ μηδεμίαν μοῖραν τῶν δεομένων ἄμοιρον τῆς ἐξ ἑαυτῶν χάριτος παρεάσαντες, ἀλλὰ καὶ πένησι καὶ πτωχοῖς καὶ

μοναχοῖς καὶ ἀσκητρίαις καὶ ἐγχωρίοις καὶ προσηλύτοις καὶ ξένοις καὶ ἐνθαδίοις καὶ ἀπροΐτοις καὶ παροδεύουσι καὶ κεκακωμένοις τῷ σώματι καὶ σφρίγουσιν ἔνδειαν καὶ ἀκμάζουσιν ταλαιπωρίαν καὶ γεγηρακόσι τὴν πάρεσιν καὶ σώφροσιν ἀτόνοις καὶ ἀποροῦσι τὴν σύνεσιν καὶ ὀρειβατοῦσιν ἀμισάνθρωπα καὶ σαλίζουσιν ἔμμεσα καὶ ἐπῃρμένοις ἀέρια καὶ κεχωσμένοις ὑπόγαια καὶ πᾶσιν ἅπαντα κοινωσάμενοι καὶ τὰς πάντων εὐχάς, ὡς λαβὰς εἰς τὴν τοῦ σπουδαζομένου θείου πλούτου χρησάμενοι ἀντεπίκτησιν διὰ τοῦ προχρῆσαι τὸν ἔρανον παραδιδόασιν ἑαυτοὺς καὶ ἀλλήλους.

21. ὁ μὲν ἄγαμος ἀνὴρ παρουσίᾳ τῆς ἀδεοῦς νύμφης ἐν τῇ κατὰ τὸ Σιγριανὸν ὄρος μονῇ τοῦ Πολιχνίου λεγομένῃ, γενομένῳ ποτε προαστείῳ αὐτοῦ, εὔθετον ἑαυτὸν εἰς θυσίαν κυρίῳ τῷ φιλοψύχῳ προσφέρων ζῷον ἱερούργησεν, τὴν δ᾽ ἄκακον ἀμνάδα ὁ πανακέραιος ἀμνὸς τῷ ἐν Πριγκίπῳ παρθενῶνι μετὰ τῆς οἱονεὶ ἑδνοφορίας εὐγενοπρεπῶς κτημάτων καὶ χρημάτων ἐμπεριούσιον θεῷ ὑπανήνεγκεν, καλέσας καὶ Εἰρήνην χριστοφρόνως ἅμα καὶ ἐπικαίρως ἀντὶ Μεγαλοῦς, ὡς ἄνωθεν ἔφημεν. καὶ συνταξάμενοι τὸ μέχρι τοῦ ἀδεκάστου βήματος τοῦ Χριστοῦ μηδ᾽ ἀλλήλους θεάσασθαι, ὡς ἂν ὀφειλὴν παρὰ τοῦ δικαίου κριτοῦ τὴν τότε ὄψιν ἐκδέξαιντο, ὁ μὲν ἄπεισι καθ᾽ ἑαυτὸν καὶ πρὸς ὁμοίους ἀθλητὰς τοῖς εὐάνδροις συναγωνιούμενος, ἡ δὲ μένει μετὰ χώρας σὺν ταῖς

ὁμοταγέσιν νυμφοπρεπέστατα, ὥσπερ θανοῦσα κατὰ προαίρεσιν καὶ τὴν ἐσχάτην σάλπιγγα περιμένουσα.

22. ἐπιστραφεὶς ὁ εὐδρομώτατος πρὸς τὸν πατέρα Στρατήγιον καὶ ἀδελφῶν τοὺς ὁμόφρονας δωρεῖται μὲν τῷ πατρὶ καὶ παντελῶς ἀποδίδωσι [p. 16] τὸ αὐτὸ μοναστήριον, ἐπεὶ πατὴρ κατ᾽ ἄμφω τούτου ἐδείκνυτο, τῇ τε διδαχῇ τῇ τε ὑποδοχῇ τῶν τριχῶν τὰ πρὸς θεὸν τὸν μόνον πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται, ἐν δὲ τῇ καλουμένῃ νήσῳ τῆς Καλωνύμου πορεύεται καὶ ὅπερ εἶχεν ἐν ταύτῃ γονεοσδότως κτημάτιον κτίζει καὶ συντελεῖ μοναστήριον, ἀναλώμασιν καταλειφθεῖσιν αὐτῷ ἐγείρας καὶ δομησάμενος· ἐφ᾽ ᾧ κεκληκὼς καὶ συναθροίσας μονάζοντας, ἀπὸ τῆς Θεοδώρου τοῦ λεγομένου Μονοχεραρίου μονῆς τυγχάνοντας, ποιήσας ἡγούμενον τὸν πάντων εὐδοκιμώτερον, δείκνυσιν ἔργῳ τὴν τοῖς συνοῦσιν ὀφειλομένην ὑποταγήν, ἑαυτὸν προκαταστήσας ὑπήκοον. τελευτήσαντος δὲ τοῦ ἐπιστάτου κατὰ τὴν φυσικὴν ἀνθρώπῳ παντὶ ἀποκλήρωσιν, ἡ μὲν τῶν ἀδελφῶν ὁμήγυρις ἀφηγήσασθαι κατανυγέντα αὐτὸν ἐδυσώπησεν· ὁ δὲ πολὺς τῷ σμικρύνεσθαι καὶ ὑψηλὸς χθαμαλότητι τὸ μὲν κατάρχειν τούτων οὐ κατεδέξατο, πρὸς δὲ κελλίῳ καθεζόμενος ἠγωνίζετο, τὰ πάντα πρὸς στ<ρ>ατολόγιον τὸ θεῖον ἐγκρατευόμενος καὶ ἐξ οἰκείων χειρῶν καλλιγραφίας τεχνικῆς καὶ εὐθέτου, εἰ καὶ ἀδιδάκτου, τρεφόμενος, ὡς εἶναι καὶ τὴν τέχνην

καὶ τὴν διδαχὴν αὐτοῦ θεοῦ καὶ σπουδῆς δωρεὰν τε καὶ χάρισμα. ἐξ οὗ καὶ συμπαρέμεινε μέχρι <τῆς τελευτῆς> αὐτῷ ἀκλητὶ καὶ ἀνεύθυνα. ὡς γὰρ νηστείᾳ, οὕτω τῇ ἀγρυπνίᾳ καὶ ὥσπερ ταύτῃ, οὕτως καὶ χαμευνίᾳ σὺν τῇ μελέτῃ τῶν γραφῶν καὶ τῇ ἐν βίβλοις ἐργοχειρίᾳ ἀνολιγώρως ὑπέμενεν, ὥστε τῇ πολλῇ ἐπιμονῇ τοῦ ἔργου καὶ τῷ τῆς χάριτος δώρῳ τῷ ἐκ τῆς αἰτήσεως πείρᾳ μαθεῖν τὸ δέον καὶ ἐμπειρίαν προσκτήσασθαι ἐπί τε τόνου καὶ γραφῆς ἀπαρόλισθα. ἡ γὰρ ἐπὶ τοῦτο ἔμμονος ἐπίστησις τὴν αἴτησιν ἐδείκνυ· διὸ καὶ εἴληφεν ὃ ἠγάπησεν.

23. ἐκεῖ τοίνυν ἑξαετίαν διηνυκὼς ἐναγωνίως, οὐ λογισάμενός τι μέγα ποιεῖν ἐν τούτοις διὰ τὸ γεγενῆσθαί ποτε τὸν τόπον κτῆμα οἰκεῖον αὐτοῦ, τοῦτον μοναχοῖς τοῖς δυναμένοις παμπλήρη ὡς ἦν ἀποδόμενος, λαβὼν ἐν τῇ χειρὶ τὴν ῥάβδον καὶ τὴν ἐλπίδα ἐν τῇ ψυχῇ θησαυρίσας τὴν πρὸς τὸν κύριον, ἔξεισι τῆς μονῆς καὶ καταλαμβάνει τὸ τῆς Σιγριανῆς αὖθις ὄρος καὶ εἰσέρχεται ἐν τῷ μοναστηρίῳ τοῦ ὁσίου πατρὸς ἡμῶν Χριστοφόρου, ἐν κελλίῳ προκόπτων τῇ ἐν πνεύματι καθ᾽ ἡμέραν ἡλικίᾳ καὶ ἀγαλλόμενος καὶ τότε μόνον μονάσαι ταπεινοφρόνως παρ᾽ ἑαυτῷ καλῶς λογιζόμενος. διὸ καὶ πόνοις νεανικοῖς ἑαυτὸν προσεθίζων καὶ γυμνάζων, οἷά περ ἀρχάριος, ἐλπίδι τὴν τελειότητα κατελάμβανεν, ἣν ἔργῳ μὲν ἐκέκτητο καὶ ἐστέφετο, τῷ πρὸς θεὸν δὲ ἀκορέστῳ πόθῳ μηδ᾽ ἀπάρξασθαι ταύτης ὁ πληρέστατος ᾤετο.

[p. 17]

24. οὕτω οὖν γυμναζομένῳ τῷ πανοσίῳ καὶ τὰς θείας ἀναβάσεις διατιθεμένῳ ἐν τῇ καρδίᾳ, γεωργός τις πλησίον οἰκῶν εἰς τόπον Ἀγρὸς προσονομαζόμενον διαπιπράσκειν τοῦτον βεβούληται. καὶ δὴ τοῦ λόγου γενομένου ἐν τοῖς ὠσὶ τῶν κατὰ τὸ μοναστήριον (ἔστιν γὰρ τοῦτο τῶν πωλούντων ἐννομώτατον γνώρισμα τὸ μάλιστα τοὺς ὁμοροῦντας ἐπὶ τὰς ἀντεπικτήσεις προτρέπεσθαι), εἶξεν εὐθύμως ὁ μεγαλόψυχος τὸ τοιοῦτον χωρίον πρίασθαι διὰ πράσεως· οὐ γὰρ ἦν κεκτημένος κἂν μιᾶς δραγμῆς μέρος ἐλεύθερον. καὶ πρὸς τῶν συγγενῶν τοὺς οἰκειοτέρους ἀποστείλας καὶ αἰτῶν τὸ δανείσασθαι, ἄρδην οἱ πάντες τούτῳ τὴν δόσιν ἠρνήσαντο, τὴν ἀπορίαν αὐτοῦ λογιζόμενοι καὶ ἀπελπίζοντες τὴν ἀπόληψιν. ἐξελθόντων δὲ μοναχῶν εὐλαβῶν καὶ εἰς οἰκεῖον λόγον χρησαμένων παρά τινων, αὐτοὶ πάλιν ἐκείνῳ ἀντεπεδάνεισαν, ὅπερ ἦν μέτρον χρυσίου λιτρῶν δύο ἡμίσεως· κἀκεῖ διῇξεν ἐνδείᾳ πάσῃ τρυχόμενος ἐπὶ χρόνους πλείονας, ἐξ ἐργοχείρου οἰκείου ὁ μοχθηρὸς καὶ τραφεὶς ὁσημέραι καὶ τὸ δάνειον ἀποδόμενος.

25. ταύτῃ τοι καὶ τὴν τῶν ἀρετῶν ἀνεπλέξατο χρυσῆν σειρὰν ἑαυτῷ καὶ περιχλανισθεὶς αὐτὴν ἐστολίσατο, μίτρας τοῦ [λεγε· τῆς?] προμετωπίου καὶ λογείου τοῦ ἐπὶ στέρνοις καὶ τῶν ἐπὶ ὤμους ἀσπιδισκῶν καὶ

ὑποδύτου τοῦ ἐπ᾽ ὀσφύος καὶ ἀνθινοῦ ῥοΐσκου τοῦ ἐπὶ λώματος γλαφυροειδέστερον ἐγκοσμούμενος. τὴν γὰρ φρόνησιν οἷά περ μίτραν καὶ ὡς λογεῖον τὴν ἔμπρακτον σοφίαν, τήν τε ἀνδρείαν ὡς ἀσπιδίσκας ἐφ᾽ ὠλενῶν περιθέμενος καὶ τῇ δικαίᾳ πρὸς λογισμοὺς διαιτήσει εὐκρινῶς ἀμπεχόμενος πρόεισι πᾶσι τοῖς προσιοῦσι δεικνύμενος, ὡς ἐξ ἀδύτων τῆς μονίας τε καὶ ἀναχωρήσεως μεμυσταγωγημένος καὶ ἐν ἑαυτῷ δεικνύων τὰ κατ᾽ ἐντολὰς κατορθώματα, ὡς ἐν τοῖς οἰκείοις τῶν πρακτέων δήλοις παντὶ τῷ χρῄζοντι ὠφελείας ἐρώτησιν καὶ διὰ σιωπῆς τῷ ἔργῳ ἀποκρινόμενος. πίστις γὰρ ἐνηυλίσθη τούτῳ ἐπὶ τοσοῦτον, ὡς πάντα καταλιπόντα καὶ γυμνωθέντα καθολικώτατα ἀντεπικτᾶσθαι πάλιν ὅσα ἤθελεν καὶ βεβούλητο, ἐλπίς τε ταύτην ἐκράτυνε μάλιστα ἡ τὸ μὴ ἔχειν ὡς ἔχειν λογίζεσθαι καὶ διδόναι τοῖς χρῄζουσι πείσασα, προβλεπομένης τῆς εὐπορίας ἐν πίστει ἀδίστακτα· ἀγάπη τὰς δύο ἡ πληρεστάτη καὶ ἐτελείου καὶ ἀλύτως συνέσφιγγεν ἡ πρὸς θεόν τε καὶ τὸν πλησίον, ὡς γέγραπται, ἥτις καὶ κινεῖν πρὸς πίστιν ἠνάγκαζεν καὶ ἐπελπίζειν ἀντάμειψιν ἔπειθεν αὐτὸν οὖσαν ἀγάπην τὸν κύριον καὶ ταύτῃ γινωσκόμενον καὶ προσκυνούμενον καὶ εὐαρεστούμενον, ὑφ᾽ ἣν καὶ μεθ᾽ ἧς καὶ πρὸς ἣν ἅπας ὁ τῶν ἀρετῶν πρακτικῶς τὸν λόγον ποιούμενος ἐγκατορθοῦται καὶ δείκνυται καὶ ἀνάγεται.

[p. 18]

26. γίνεται γὰρ μακρόθυμος οἷα φρόνιμος, ἐπειδὴ πολὺν ἐν φρονήσει τὸν μεγαλόψυχον Σολομὼν ἀπεφήνατο καὶ τοῦτο ἐξ ἀγάπης κατώρθωσε τὸ στέργειν ὑπομένειν τὸ μεγαλόψυχον. ἁπλοῦς τε καὶ ταπεινὸς καὶ ἐλεήμων καθίσταται, ἀνδρείᾳ καὶ σοφίᾳ καὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ περιφρουρούμενος, ἐπειδήπερ ἐν ταύταις ταῦτα δείκνυται καὶ γνωρίζεται, τὸ μὴ διπλοῦσθαι ἐξ ἀτονίας περίεργα μηδὲ δοκεῖν εἶναί τι μηδὲν ὄντα φρεναπατώμενον ἄγνωστα καὶ μὴ ἀκολασταίνειν ἐξ ἀσπλαγχνίας φιλαργυρούμενον, ὅπερ ἐστὶ πρώτη πορνεία ἢ εἰδωλολατρεία, πλεονεξίας τὸ γέννημα· τὸν τῆς νηστείας δὲ τάχα θεμέλιον ἐπὶ τοσοῦτον προϋπεστήρισεν, ὡς δίκαιος τῷ ὄντι δικαίως διώκων τὸ δίκαιον καὶ τοσοῦτον ὑφαίρων τῆς σαρκὸς πάντοτε, ὅσον μὴ τυραννεῖσθαι ταύτῃ τὸ πνεῦμά ποτε, ἀλλὰ ποιεῖσθαι καὶ τὸν ἐκείνου λόγον, ὅσον οἰκέτου πρὸς κύριον, καὶ μὴ ἐᾶν αὐτὸ πάλιν εἰς τὸ παντελὲς ἀπρονόητον διὰ τὸ δι᾽ αὐτοῦ κατορθοῦν τὰ τῆς ἀρετῆς παραγγέλματα, ἐπεὶ [λεγε· ἐπὶ] τούτοις ἠκολούθει τὸ πέρας τῶν ἀγαθῶν, ἡ διάκρισις, καὶ περικέκοπτο τὸ μύσος τῶν κακιῶν, θυμὸς ὁ ἀλόγιστος, ὥστε μετ᾽ εἰρήνης βαθείας πρὸς ἑαυτὸν καὶ τὸν πλησίον διαλεγόμενος καὶ διακινούμενος κατὰ μόνης τῆς ἁμαρτίας καὶ τοῦ εὑρετοῦ ταύτης ὄφεως τὸ θυμικὸν κέντρον ἀφίειν ὀξύτατα, ὡς εἶναι τὸ τοῦ Ἰὼβ ἐπ᾽ αὐτῷ πληρούμενον καὶ ὁρώμενον, θηρία τὰ λογιστικὰ πάθη εἰρηνεύοντα καὶ λεοντιαίου θυμοῦ ψυχοφθορίαν

χόρτον ἴσα βουσὶν ὑποτακτικῶς ἐσθίειν καὶ μένειν ἢ ἀναβαίνειν εἰς τὴν κατ᾽ εἰκόνα κτίσιν τοῦ ποιητοῦ παμπλῆρες ἀρχέτυπον.

27. τότε δὴ ἐν Νικαίᾳ τὸ δεύτερον ἁγία ἑβδόμη οἰκουμενικὴ κεκρότητο σύνοδος, καὶ προτρέπουσι τοῦτον ἀθροισθῆναι οἱ διατάττοντες σὺν ἅπασι καὶ ἐξάρχειν τῶν ὑποθέσεων. γίνεται δὲ οὐκ ἀνόνητος οὐδὲ ἀργὴ καθόλου ἡ τοῦ ὁσίου συνέλευσις· πρὸ γὰρ δογμάτων τῶν ζητουμένων ἐπίρρητα ἡ τῆς φυσιώσεως τέως ἀμφίκεντρος τῇ παρουσίᾳ τούτου ἀμβλύνεται αἵρεσις. καὶ πῶς γὰρ οὐκ ἔμελλεν αὐτὴ φθαρῆναι καὶ ἐξ ἅπαντος τοῦ προσέχοντος, ὅπου γε τὸν ἐν τοσαύτῃ περιφανείᾳ γένους καὶ χρημάτων ὑπάρξαντα καὶ βασιλείῳ τιμηθέντα τῷ ἀξιώματι βλέπειν ἐδίδοτο ῥακοδυτοῦντα καὶ θῆτα ὡς πένητα καὶ κανθηλίῳ πτωχοπρεπῶς ἐποχούμενον, λώροις τε τοῖς τὴν καθέδραν καὶ τὴν ἡνίαν ἐπέχουσιν ἰτεοδέρμου σχοίνου ἢ φιλύρεως δέρμα ἐξησκημένως [p. 19] συσφίγγουσιν καὶ οὕτω μὲν πρὸ πάντων εἰς οἰκοδομὴν τοὺς κεπφουμένους κατεδυσώπησεν οὐ μικράν, προεισενέγκας τῇ κατὰ Νίκαιαν τῶν δογμάτων ἰθύτητι καὶ τὸ τῆς ὑψηλῆς ταπεινοφροσύνης χαριστήριον δόγμα.

28. ὅτε δὲ ηὐδόκησεν ἡ ἄφατος τοῦ κτίστου περὶ πάντων φιλανθρωπία, τῷ τῆς μεγαλοψυχίας αὐτοῦ προθυμήματι καὶ τὰ τῆς μονῆς συνεπλάτυνεν καὶ

ἀδελφότητα ὑπερήθροισε, περὶ ἧς καὶ μᾶλλον τὴν φίλεργον μιμούμενος μέλισσαν τὴν ἐκ παντὸς ἄνθους συλλέγουσαν τὸ πανεύχρηστον εἰς ἑνὸς κηρίου γλυκύ τε καὶ θεραπευτικὸν φιλοτέχνημα, παρέβαλλεν καὶ οὗτος τῷ χρόνῳ δεύτερον τοῖς τοῦ Πανδήμου καὶ Ἑλλησπόντου καὶ Βιθυνίας ἀσκητηρίοις φιλόπονα. καὶ τὰ μὲν παρ᾽ ἑαυτοῦ τῷ μόνον παρουσιάζειν καὶ μὴ ἐθέλων δεικνὺς ὥσπερ ἔοικεν (ἀρωματοῦσιν γὰρ ἀρεταὶ καὶ εὐωδιάζουσιν, κἂν ταπεινοφροσύνης κόλπος δοκεῖ ταύτας περιστέλλειν καὶ περικρύπτεσθαι), τὰ δὲ παρ᾽ ἐκείνων αὐτὸς ἀπλήστως ἐμπορευόμενος, μυριοφόρου πλέον ὁλκάδος τὰ κέρδη τοῖς ἀδελφοῖς ἀποκομίζων ἀνέλυεν. εἶχέν τε σὺν τῷ πνευματικῷ ἐλαίῳ, ὅπερ λαμπάδι τῆς γλώσσης τοῖς βουλομένοις ἐπύρσευεν ἄφθονα, καὶ τὴν ἐκ χειρῶν τοῖς πλησιάζουσιν χορηγεῖν εὐπορίαν ὡς ἕτοιμα ἐπί τε μοναστηρίων καὶ χωριδίων καὶ ἀνὰ μέρος ἑκάστου τῶν δεομένων ἐν διαφόροις ἡλικίαις καὶ φύσεσιν, ὡς δὲ καὶ ἐπιτηδεύμασιν.

29. ἐφ᾽ οἷς φθονήσας μεγάλως ὁ τῆς ζωῆς καὶ σωτηρίας τῆς ἀνθρωπίνης ἀντίπαλος πλάττεταί ποτε κοιμωμένου αὐτοῦ τὴν ἐπικοίτιον προσευχήν [*** λαχυνα] ὡς ἄλλος ἄλλῳ ἐγκελεύοντες [*** λαχυνα] καὶ κατεπείγειν τὸ ἐντελλόμενον· τὸ δὲ ἦν ἅψαι χεῖρα, ὡς ἐδόκουν οἱ ἑαυτοὺς φενακίζοντες δαίμονες· τέλος πληροῦται τὰ τῆς προστάξεως, καὶ δηγμῷ πιέσαντες τὸν τῆς χειρὸς ἕνα δάκτυλον ἐνέ{γ}χριμψαν τὸν τῆς

κακίας ἰὸν αὐτῶν οἱ ἀόρατοι, ὀδόντων τύποις καὶ ἄλγους ὑπερβολῇ τὴν κακουργίαν ἐνσημηνάμενοι [*** λαχυνα] ἐφ᾽ ᾧ συνελθόντων τῶν ἀδελφῶν [*** λαχυνα] ἁγιάσματι μὲν καὶ ἀπομυρίσματι τὴν τοῦ ὁσίου χεῖρα ὑπαλεῖψαι, μετριῶσαί τε αὐτῷ τὴν ὀδύνην τῇ τοῦ χρίσματος χάριτι, τοὺς δὲ πιεσμοὺς τῶν ὀδόντων ἐπὶ πλεῖστας βεβαίως τὰς ἡμέρας ἐμφαίνεσθαι.

30. καὶ ἄλλοτε δὲ πάλιν οἱ φθονεροὶ κοιμώμενον ἐφάπαξ ἐρράπισαν ἀλλὰ μὴν καὶ ἐγρήγορον ὑπεσίαινον, ὥσπερ ᾤοντο, τῇ δ᾽ ἀληθείᾳ ἑαυτοὺς καὶ οὐ τὸν ὅσιον ἐγκατέσειον· οὐ γὰρ τὸ πάσχον, εἰ μὴ λογίζοιτο τὰ πάθη, κατοίκτιστον, ἀλλὰ τρισάθλιος ὁ πράττων, ὅταν καὶ θέλῃ καὶ μὴ λυπῇ κακουργῶν [p. 20] τὸν μισούμενον. ὡς οὖν τὰς ἀφανεῖς τε καὶ ἐμφανεῖς τοῦ διαβόλου ἐνέδρας ἐν Χριστῷ ἐκνενίκηκε, στέφειν ἀπάρχεται τοῦτον ἡ χάρις σημείοις τοῖς ἐκ τῶν δωρεῶν αὐτῆς.

31. καί ποτε λιμοῦ γενομένου ἤνοιγεν αὐτὸς τὴν χεῖρα καὶ πρὸ ταύτης τὰ σπλάγχνα, ὡς οἰκεῖον ἑκάστῳ τῶν ἐρχομένων τὴν αὐτοῦ μονὴν καταγώγιον. λέγει οὖν αὐτῷ προσελθὼν ὁ ταμίας· «λογίζομαι, ὦ πάτερ, ὡς οὐδ᾽ εἰς μέσον τοῦ ἔτους ἡ πανεγχρόνιος ἑτοιμασία τοῦ σίτου ἀρκέσει ἡμῖν, τῷ πλήθει τῆς ἐξόδου ἐκλείπουσα.» ὁ δὲ πρὸς αὐτὸν μεγαλόψυχα· «εἰς τί μικρόθυμος, ὦ τέκνον, γεγένησαι καὶ ἵνα τί διστάζεις πρὸς τὴν τοῦ εὐεργέτου ἀντίληψιν ὕπαγε, μέτρησον

τὸν σῖτον, ὃν κέκτησαι, καὶ εὕροις τάχα τῶν τοῦ θεοῦ δωρεῶν τὸ ἀμέτρητον. οὐ γὰρ στενοῦται χάρις ἡ πάντας πλατύνουσα, οὐδ᾽ ἐρευνᾶται οἶκος, δι᾽ οὗ πάντες σῳζόμεθα.» ἀπελθὼν οὖν καὶ ἀριθμήσας τὸ πυροβόλιον ὁ ἀδελφὸς καὶ ἐπίτροπος εὗρεν ὡς πρὸ τοῦ τετραμήνου ἤγουν καθὼς τεθησαύριστο σῶον ὑπάρχον τὸ γέννημα, μὴ λογισθέντος τοῦ τριμεροῦς χρόνου ἐκείνου εἰς δαπάνην αὐτοῖς ὅλως, κἂν δαψιλῶς δεδαπάνηται. ἡ γὰρ τῆς εὐποιΐας τοῦ ἡγουμένου χείρ, ὡς ἐπέοικεν, ἐν τῷ σκορπίζειν καλῶς συνῆγεν τὰ μάλιστα, ὡς τοῖς ἀπίστοις ἄλλοις ἐκφυσᾷ τὸ συσφίγγεσθαι. ὕδατι γὰρ ἐπὶ χειρὸς ἁπλῇ κοιλότητι συνεχομένῳ ἔοικεν τὰ ὑπάρχοντα, ὡς ἐν τῷ πᾶσιν ἡπλῶσθαι κατέχεσθαι· οὗπερ σφιγγέντος δακτύλων ἐγκλείσεσι θᾶττον ἢ λόγος ἐκρέει καὶ χέεται. τῷ γὰρ διδόντι ἀφθόνως θεῷ τὸ δώρημα ἕπεται καὶ ὡς ἐκεῖνος θέλει, οὕτω καὶ μένει καὶ δραπετεύει φιλόκριτα, δεικνύσης, οἶμαι, καὶ διδασκούσης τῆς χάριτος, ὡς τῶν χρῃζόντων, οὐ τῶν ἐχόντων τὰ πράγματα πέφυκεν.

32. ἄλλοτέ ποτε προσαιτοῦντος ἐν τῇ μονῇ ἀδελφοῦ τινος, ὁ ἐπὶ τῆς διακονίας τῷ πανοσίῳ ἀνήνεγκεν· ὁ δὲ τῷ ἔργῳ προσέχων τῆς γραφικῆς ἐμμελέστατα, «ἄπελθε», φησί, «καὶ τὸ ἐπίσυρτον κιβωτίδιον ἀνοίξας λαβὲ καὶ δὸς αὐτῷ.» ὁ δὲ γογγυσμῷ τοῦ ἀπιστεῖσθαι δόξειν ὑποτρίζων ὀδοῦσιν ἀπῄει καὶ δεύτερον ἀνοίξας τε <καὶ> θρασύτερον ὀργιζόμενος τὸ πρὸ μικροῦ φανὲν πάντη ἄπορον εὐθὺς νόμισμα φέρον εἶδεν, ὡς

συσταλῆναι παρέκπληκτα. φέρει γοῦν τοῦτο πρὸς τὸν μακάριον καὶ βεβαιοῦται ἀπολογίαις ὡς· «οὐκ εἶχέ τι πρὸ τούτου, πίστευσον, δέσποτα.» ἐκκόπτων δὲ τὸν λόγον τοῦ ἀγαμένου ὁ ταπεινόφρων καὶ θεομίμητος, «ὕπαγε», φησίν, «δίδου καὶ μὴ προστίθει
[p. 21] λόγους συγκρίσεως.» ᾔδει γὰρ ἤδη πεπιστευκότα τὸν πρὶν μυκτηρίσαντα καὶ μέλλοντα λαλεῖν τὸ ὑποπτευόμενον δικαιότατα ὡς· «ἡ εὐχή σου, πάτερ, καὶ ἡ κέλευσις παρέσχε τὸ πρὶν ἀπορούμενον.» βλέπει γοῦν πίστις καὶ τυραννεῖ ἀγάπη, ἐλπίς τε οὐ καταισχύνει, καθὰ γέγραπται, καινοτομουμένων κατ᾽ ἐντολὰς πάντων τῶν μὴ δοκούντων νεωστὶ τέμνεσθαι διὰ τὸν ἐν ταῖς ἐντολαῖς αὐτοῦ κρυπτόμενον δημιουργὸν καὶ κύριον πάσης κτίσεως.

33. ὅτε τοίνυν ἔδοξε τῷ θεόφρονι εὐκτήριον οἶκον τῇ μονῇ δομήσασθαι, τῶν ἐργατῶν εἷς ἀφελέστερος καὶ πρὸς οἰκείαν σωτηρίαν χαυνότερος ἐξ ἀταξίας, περιπατῶν [λεγε· περιπολῶν] ἀωρίᾳ πεπληρωμένους φόβου καὶ πτοίας τόπους τοὺς πλησιάζοντας, πλήττεται πνεύματι πονηρῷ τῷ ἐμφιλοχωροῦντι τούτοις μισανθρωπότατα. καὶ παρευθὺ τὸν νοῦν ἀπολωλεκὼς ὁ πανάθλιος ἐξίσταται μὲν ἑαυτοῦ καὶ παραιτίζει δυσέκνιπτα [λεγε· δυσέκνηπτα], ἐσθίειν δὲ τὰς σάρκας ὡς ἀλλοτρίας τὰς οἰκείας οὐ φείδεται καὶ τοὺς προσαπαντῶντας αὐτοχειρίᾳ συντρίβων σκληρότατα ἀπρόσιτος ὀλίγοις καθίστατο, εἰ μή τι

πλειόνων συνδρομὴ παρατυχοῦσα τοῦτον εὐτόλμως ἐδάμασεν. δήσαντες οὖν αὐτὸν οἱ ὑπερισχύσαντες ποδῶν καὶ χειρῶν ὀπισθοστρόφως, ἀπέκλεισαν αὐτὸν ἐν οἰκιδίῳ πανέκθλιπτα, προσκαταστήσαντες καὶ τρεῖς διηνεκέστατα φύλακας, ὡς ἂν μὴ διαπράττοιτο ἄπρακτα ἤτοι ἄτακτα. ὁ δὲ τρισόσιος πατὴρ καὶ πολυμακάριστος τοῖς ἀδελφοῖς τὴν συνήθη μετὰ τοὺς ἐπικοιτίους ὕμνους παράθεσιν ποιησάμενος καὶ μηδένα παραβαλεῖν αὐτῷ καθόλου διαταξάμενος ᾤχετο ἠρεμήσων ἀσίαντα· καὶ δὴ τῷ μεσονυκτίῳ, ὡς ἐστοχάζοντο οἱ τὸν προσυληθέντα τὰς φρένας φυλάσσοντες ἄνθρωπον, ἰδόντες αὐτομόλως πρὸς ἔξοδον ἐπειγόμενον ἄφετόν τε καὶ ἄνετον τῶν δεσμῶν ἀθρόον γενόμενον καὶ πανεμφρόνως καὶ εὐσταθῶς πορευόμενον, ἐπιλαβόμενοι καὶ κατέχοντες ἀσυγχώρητα ἀνηρώτων τὸ πρᾶγμα καὶ τὸν τρόπον ἐθαύμαζον, ποῦ μὲν πορεύεσθαι, πυθόμενοι, βούλοιτο πῶς τε τῶν πεδῶν ἀπελύθη καὶ διαβαίνει αὐτόλυτα. ὃς εὐθὺς ᾗ γεγόνει ἐξελάλει τὸ χάρισμα καὶ τὸν ἐγκελευσάμενον κατεφανέρου πανίερον ὅτι «λύσας οὗτος ἐπὶ τὴν ἐκκλησίαν καλεῖ ὁ καλόγηρος, κἀκείνῳ προπορευομένῳ ὑπάγομαι.» τότε ψηλαφήσαντες οἱ τούτου τηρηταὶ τὰ δεσμὰ αὐτοῦ εὗρον οὐ λελυμένα, σεσωρευμένα δὲ πρὸς τῇ κεφαλῇ τοῦ ἐπικοιτίου αὐτοῦ στρώματος ἅπαντα καὶ τοὺς τῆς ἀσφαλείας χαρακτῆρας ἐφ᾽ ἑαυτὰ φέροντα. γνόντες οὖν θείαν εἶναι τὴν
[p. 22] ἀπαράνοικτον ἔκλυσιν καὶ οὐ χειρῶν, ἀλλ᾽

εὐχῆς ἔργον τὸ θαυμαστὸν τοῦτο γενόμενον τερατούργημα, θᾶττον σὺν αὐτῷ τὴν ἐκκλησίαν κατέλαβον καὶ τὴν εὐχαριστίαν κυρίῳ ἀνέφερον, τὴν τοῦ πατρὸς ἀργίαν ὑπονοήσαντες μείζονος ἐργασίας καθεστηκέναι ἀγώνισμα. ἡ γὰρ μὴ ὁρωμένη προσευχὴ καὶ ἐγκρύφιος ἐν ἀοράτῳ πράξει τὴν λύσιν ὑπέδειξεν· οὕτω γὰρ ἡ ἐν τῷ ταμιείῳ προσευχὴ τοῦ ἀποκεκλεισμένου τὴν θύραν οὐκ ἀνθρωπάρεσκα οἶδεν ἐν τῷ φανερῷ ἀπολαμβάνειν τὰς ἐξαιτήσεις παρὰ τοῦ ἐν κρυπτῷ βλέποντος πατρός, ὡς ἔφη ὁ κύριος. ἡ γοῦν εὐχαριστία κυρίῳ ἠνύετο καὶ ἡ πληροφορία τοῖς μαθηταῖς ἐπηύξει πρὸς τὸν διδάσκαλον, αὐχήματος καὶ φόβου τοῦ ἀμφ᾽ αὐτὸν πληροφορίαν ἐντίκτουσα.

34. ἀπὸ τοῦ ἐν κρυπτῷ τοίνυν σημείου τούτου εἰς φανερὸν δείξει ὁ λόγος ἐν τῷ ῥηθησομένῳ κεφαλαίῳ οὐ μόνον αὐτὸν ἐκεῖνον, ἀλλὰ καὶ τοὺς ὡς δι᾽ αὐτὸν ἀποκομίζοντας πώποτε παραγγέλματα εἰς περιουσιότητα οὐσιότητος δύνασθαι ἐνεργεῖν θεοδώρητα, δοξάζοντος κυρίου, ὥσπερ ὀμώμοκεν, τοὺς τοῦτον ἔργῳ καὶ λόγῳ δοξάζοντας· ἐν γὰρ θερμοῖς ποτε τοῦ μακαρίου πορευθέντος μικρᾶς θεραπείας ἕνεκεν, βατράχων ἦν ὁ τόπος, ἐν ᾧπερ κατέλυσαν, πεπληρωμένος, ὡς ὑδρευόμενος. τούτων ὁ θόρυβος ἠνία πως καὶ ὑπέθλιβε τοὺς ἐπήλυδας, τῇ τραχύτητι τῶν κραυγῶν τὸ ὁμαλὸν τῆς ἡσυχίας σπαράττων καὶ ὑποσπώμενος. πίστιν οὖν ἀναλαβών τις καὶ τόλμαν εὐπρόληπτον τῶν συγγενῶν τοῦ ὁσίου καὶ πορευθεὶς

αὐταπόστολος, στὰς ἐπὶ τοῦ τόπου φησὶν πρὸς τοὺς κράζοντας· «ὁ καλόγηρος εἶπεν· ͳπαύσετε [λεγε· παύσατε] καὶ μὴ κράζετε.ͳ» οἱ δὲ τὴν αἴσθησιν τοῦ ἀκουστικοῦ τρανωθέντες πλέον ἤπερ ἀνθρώπων οἱ ἀλογώτατοι, σιωπῇ τὴν ὑπακοὴν τάχος ᾗ [λεγε· ἣ?] ἐκελεύσθησαν ἐπεδείξαντο, ἔργον θείας δωρεᾶς τοῦτο καὶ τιμῆς πρὸς τὸν ὅσιον φέρον ἀπόδειξιν. οἱ γὰρ τὸ κράζειν εἰς φύσιν μὲν ἔχοντες, τὸ δὲ ἀκούειν οὐδέποτε, ἥνπερ οὐκ εἶχον εἰλήφασιν αἴσθησιν, ὃ δ᾽ ἀπεῖχον οὐκ ἐφρούρησαν γνώρισμα. τὸ γὰρ λαλεῖν εἰς ἀκούειν ἀμείψαντες ἀκηκοέναι σιγῶντες ἐλάλησαν, αὐτὸν ἐκεῖνον, ὡς οἴομαι, τὸν ἐπιτιμήτορα καὶ μετ᾽ ἐκεῖνον ἡμᾶς τοὺς ἀκούσοντας εἰδέναι σέβειν πατέρα κελεύοντες καὶ μὴ σαλεύειν τῶν λόγων τὰ ὅρια ἐκδιδάσκοντες.

35. τούτου δὴ γενομένου καὶ παρελθούσης δευτέρας ἡμέρας τῆς σιωπῆς αὐτῶν, φησὶν ὁ δραματουργὸς καὶ αὐτάγγελτος πρὸς τὸν δίκαιον· «ἠλεήθημεν, πάτερ, ἡσυχασάντων τῶν λιμνοχαρῶν κνωδάλων ὡς πάνυ γε.» τοῦ δέ «καὶ
[p. 23] πῶς ἄρα νῦν ἐσιώπησαν» ἐρωτήσαντος, ἀπήγγειλεν ὁ φιλαλήθης συγγενὴς αὐτοῦ καὶ οὐκ ἔκρυψεν, ἀνόνητον δευτέραν κλοπὴν οὐχ ἡγούμενος προσθεῖναι πανδίκαιον τῇ μετὰ πίστεως γεγονυίᾳ ἐπικερδεῖ πρότερον. ὅστις θεῖος θεράπων μαθών, ὡς ἐν τῷ τούτου ὀνόματι ἐπιτιμήσας τὰ ζῷα τὴν σιωπὴν κατηνάγκασεν, ἐπιπλήξας αὐτῷ πατρικῶς καὶ

ἀντεπιτιμήσας τὰ πρόσφορα ἀπέστειλεν παρευθὺ λυσόμενον ὥσπερ ἔδησε, δεικνύς, ὡς τὸ τῇ φύσει χαρισθὲν αὐτεξουσίᾳ οὐ χρή, κἂν ἐνισχύει, ὑπαμείβειν τινὰ ἀναγκαστικώτατα. κομίσας οὖν τὴν λύσιν ὁ πρὶν τὸν δεσμὸν ὑποποιησάμενος, σύμφωνος ἡ κραυγὴ παρὰ πάντων εὐθὺς τῷ λόγῳ τοῦ λελυκότος ἐπανεδίδοτο, ὡς εἰκάσαι δηλαδὴ τηρούντων τοῦτο ἤτοι προβλεπομένων καὶ πρὸς αὐτὸ ἡτοιμασμένων παμπόθητα.

36. φανεροῖ τοίνυν ἐντεῦθεν καὶ νοεῖν δίδωσιν ἡ ὑπόθεσις, ὡς οὐχ ἡ πίστις τοῦ δραματουργοῦ ἐπιτιμητοῦ πρότερον, ἀλλ᾽ ἡ ἐν τῷ ὁσίῳ δύναμις κυρίου τοῦ θεοῦ ἐνειργήκει ἀμφότερα, εἰ καὶ τὸ μόνον ἐπὶ τῷ τούτου ὀνόματι λαλῆσαι πρὸς αὐτοὺς πρότερον πιστεύοντος ἦν, οὐκ ἀμφιβάλλοντος γνώρισμα. κνωδάλοις οὖν καὶ δαίμοσιν ἐπιτιμῆσαν, ὥσπερ νενόμικα, ἴσον ἐνδείκνυται τὸ σθένος καὶ τὴν ἐνέργειαν τοῦ ἐν τῷ εἰσακουομένῳ θεοῦ λατρευομένου *** [λαχυνα] εὐθύτητα· ἡ γὰρ ἀναισθησία τούτων οὐχ ἔλαττον εἰς ἀναισχυντίαν ἐκείνων φέρεται ἀντιτύπημα. ὃ γὰρ τοῖς δαίμοσι φιλεχθρῶς ἐμφαίνεται, τοῦτο τοῖς δυσηκόοις ζῴοις παρὰ τῆς φύσεως δέδοται· εἰ δή που καὶ τελεώτερον ἐρευνήσειας, ἡ φύσις μᾶλλον τῆς κακῆς αἱρέσεως βεβαιοτέρα καὶ δυσαμειπτικωτέρα καθέστηκεν· τοὺς γὰρ οὐκ ἐν τῇ φύσει, ἀλλ᾽ ἐν τῷ θέλειν τὸ κάκιστον ἔχοντας καὶ ἡ τῶν ἁγίων δι᾽ ἐπικλήσεως θεία δύναμις ὑποτάττει καὶ στρέφει,

παραδιδοῦσα εὐεξαιτήτως ὑπείκειν τοῖς κατεντυγχάνουσι θᾶττον, κἂν εἰ μὴ βούλοιντο, τοὺς δὲ κατὰ τὴν φύσιν κινουμένους καὶ ἐνεργοῦντας τὰ πρόσφορα ἡ μείζων ἐξουσία πείθει, οἰκονομοῦσά τι ἀγνοούμενον χάρισμα, οὐ μὴν καθυποτάττει ὡς ἀτακτοῦσαν τὴν εὔτακτον. οὕτω τοιγαροῦν μείζων τῆς πρὸς δαίμονας ἡ πρὸς βατράχους τοῦ θεόφρονος ἐπιτίμησις καὶ πλέων ἡ τούτων σιωπὴ τῆς ἐκβολῆς ἐκείνων καθέστηκε, καθάπερ καὶ κέκριται, εὑρήσομεν δὲ τάχα καὶ ἐπ᾽ ἐκείνων τὰ τοῦ ὁσίου πληρούμενα τρόπαια, ὡς καὶ ἐπ᾽ ἄλλα μείζονα τῷ λόγῳ σαφῶς ἐπιπορευόμενοι· τοῦ κατ᾽ εἰκόνα γὰρ τὴν ἐπιμέλειαν ποιησάμενος διὰ τῆς τοῦ καθ᾽ ὁμοιότητα ἀγαθουργίας ὁ ὅσιος ἔδειξε καὶ τὴν <τοῦ> Ἀδὰμ ἐν ἑαυτῷ ἀνθρωποπρεπῆ κατάστασιν, ὡς τοῦτο δὴ τὸ θαῦμα ἐνσημανεῖ τοῖς ἀκούουσι.

[p. 24]

37. ἐν γὰρ μοναστηρίῳ ποτὲ τῶν κατὰ τὴν Κύζικον παραβαλὼν ὁ πανσέβαστος, φησὶν αὐτῷ μετὰ τὴν ἀποδέουσαν ὑπαντὴν καὶ δεξίωσιν ὁ ἡγούμενος· «ὦ πάτερ, ἡ βοῦς τέτοκε κατὰ τὴν ἔπαυλιν καὶ οὐκ ἐᾷ τινα ἐγγίσαι καὶ τὸ μοσχάριον δεούσης ἐπιμελείας καταξιῶσαι τὸ σύνολον· ἔστιν γὰρ εἰς τοσοῦτον δυσπρόσιτος τοῖς πειρωμένοις προσφέρεσθαι, ὡς δοκεῖν ἀποκτένειν, εἰ φθάνοι τοὺς πλησιάζοντας.» ἀπῆλθεν οὖν πυθόμενος ποῦ ἐστιν· καὶ σὺν τοῖς ἄλλοις

ἔστη μήκοθεν καθορῶν αὐτήν· φησὶν δέ τινι τῶν ἑαυτοῦ μαθητῶν ἱλαρότητι· «ἄπελθε, τὴν μητέρα δίωξον καὶ τὸν μόσχον λαβὼν πρός με ἄγαγε.» παραυτὰ τοίνυν τοῦ ἀδελφοῦ φθάσαντος ἡ μὲν πραότητι τὴν κέλευσιν ἐπλήρου καὶ συνεχώρει τῷ λαμβάνοντι τὸ ἐκκύημα, ὁ δὲ τῷ φοιτητῇ τὸν μόσχον ἐνέγκαντι τοῖς βουλομένοις ἐπιμελεῖσθαι παρέθετο. τοῦτο τῆς τηρήσεως τοῦ κατ᾽ εἰκόνα τὸ δώρημα καὶ τοῦτο τοῦ καθ᾽ ὁμοιότητα θείαν πορεύεσθαι τὸν ὅσιον χάρισμα.

38. ἀφ᾽ ὧν καὶ πρὸς τὴν ὑπερκειμένην ἀγάπην τὰς συμμενούσας αὐτῇ, καθώς φησιν ὁ ὑψηλὸς ἀπόστολος, πίστιν τε καὶ ἐλπίδα, τὰ ἐν ἀγαθοῖς μέγιστα καὶ ἐξαίρετα, κινούμενος καὶ ὑπερεκχυνόμενος ὁ τρισόλβιος, παραβαλόντων πατέρων ἤτοι ἀδελφῶν πρὸς αὐτόν ποτε ἐδεξιοῦτο πλουσίᾳ χειρὶ καὶ πρῶτα ψυχῇ ἅπαντας, ἀφ᾽ ἧς καὶ ταύτην ἤνοιγεν, ἐκείνην ἠνεῳγμένην ἑκάστοτε κτώμενος. πέμψας οὖν εὐθὺς ἰχθύων πληθὺν διάφορον ἤγαγεν καί φησιν πρὸς αὐτοὺς μεγαλόψυχα· «ἰδού, πατέρες μακάριοι, ἤνεγκαν καὶ τρυφὴν αἱ εὐχαὶ ὑμῶν.» ἐξ ὧν εἷς θᾶττον ἀποκριθείς, ἀνθυπήνεγκε χαριέστατα· «ἐγὼ τούτων οὐ θέλω· ὕσκαν βούλομαι μάλιστα.» τοῦτο ἀκούσας ὁ πρὸς ἐλπίδας ἀδίστακτος καὶ ἐν τῇ πίστει εὐπρόβλεπτος καὶ εἰς ἀγάπην παντέλειος, τῶν μαθητῶν ἑνὶ παρευθὺ πορευθῆναι καὶ φέρειν ὕσκαν ἐκέλευεν, προσθεὶς

ὅτιπερ εἰς λόγον τῶν πατέρων, ἐπεὶ τοῦτο βούλοιντο, ταπεινοφροσύνης μέτρῳ κἀντεῦθεν δοξούμενος, ἵνα μὴ τῇ ἑαυτοῦ τοσαύτῃ πίστει καὶ τοιαύτῃ ἐλπίδι καὶ παμμεγίστῃ ἀγάπῃ τὸ κατορθωθησόμενον προμνηστεύσαιτο, ἀλλ᾽ ἵνα τάχα τὸ τῶν ἐλθόντων πρὸς αὐτὸν ἀδελφῶν ἢ πατέρων θεομερίμνητον δείξῃ ἀνυόμενον. ἀπελθὼν οὖν ὁ πεμφθεὶς μαθητὴς αὐτῷ ἤνεγκεν παμμεγέθη ὕσκαν, ὥσπερ κεκέλευστο, καίτοι μὴ ὄντος ἐπιτηδείου πρὸς τοιουτογενὲς ὀψάριον τουτουὶ τοῦ τόπου τὸ σύνολον· οὐ γὰρ πέραθέν ποθεν, ἀλλ᾽ ἐκ τοῦ καθ᾽ ἑαυτῶν μοναστηρίου, ἤτοι αἰγιαλοῦ, τὰ ἰχθύδια ἤγρευον. ὁ γοῦν μὴ ὄντα
[p. 25] παράγων τὰ σύμπαντα, οὗτος μετάγων ποιεῖ ὅσα βούλεται, ἐπείπερ ποιητής τε καὶ κύριος, δημιουργὸς καὶ βασιλεύς, θεὸς γνώσεων καὶ ἑτοιμάζων ἐπιτηδεύματα καὶ εἰσακούων τῶν φοβουμένων καθέστηκεν.

39. ἀμέλει θεὸς χαρισάμενος τὰ ἐν κόλποις ἁλὸς τρεφόμενα ὄψα τῷ καλῶς αὐτὸν ἐξῃτηκότι θεράποντι καὶ τὰ ὑπέραλα κινδυνεύοντα πλοῖα ᾔδει χαρίζεσθαι ὁ φιλόψυχος {κατευνάσαι} κύριος. σαρακοστῆς γὰρ οὔσης καὶ πρὸς τῇ κέλλῃ τῷ δούλῳ τοῦ θεοῦ ἡσυχάζοντι, ἰδοὺ πλοῖον πελαγόθεν διανηχόμενον, ἱστίου καὶ πηδαλίου καὶ καταρτίδος καὶ τῶν λοιπὸν πρὸς τὸν πλοῦν πάντῃ ἄμοιρον, μόνῃ δὲ τῇ σκάφῃ χαραδροφόρως ἐρχόμενον καὶ ὡς ἐν κρημνοῖς τισι καὶ σκοπέλοις τοῖς τῶν κυμάτων μετεωρισμοῖς καὶ

ὑποτοπήσεσιν αἰρόμενον καὶ βαλλόμενον· τῶν ἀδελφῶν δὲ ἀνενεγκόντων αὐτῷ τὸν ὑπὲρ πᾶσαν σωτηρίαν ὁρώμενον κίνδυνον, ἐξελθὼν ὁ συμπαθὴς καὶ φιλόχριστος ἕτοιμα εἰς προσευχὴν κατέστη μετὰ δακρύων θερμότατα καὶ τὸν σωτῆρα Χριστὸν ὑπὲρ τῶν ψυχῶν ἁπασῶν ἱλεούμενος, πρὸς τῇ μονῇ ῥαγῆναι εἰς σχίδακας καὶ ἐν αὐτῇ σωθῆναι τοὺς ἐν τῷ πλοίῳ πάντας ὑπήκουσται, ἀριθμὸν ὄντας τρεῖς καὶ πεντήκοντα.

40. τῇ δ᾽ ἐφ᾽ ἑτέροις εὐκτικῶς ἀπὸ θαλάσσης σωτηρίᾳ, ὡς εἴρηται, καὶ τὴν ὥσπερ συνδούλην πάλιν προτιμότερος σύνδουλος, δέδειχεν ἐπιτρεπτικῶς ἐξουσίαν φέρεσθαι, καιροῦ τοιαύτην ἀπαιτοῦντος κατάστασιν. τῇ προσπαρακειμένῃ ἀπὸ σημείου ἕκτου μονῇ τοῦ Πολιχνίου παραβαλόντι ποτε τῷ παμμάκαρι χειμὼν ἐτέθη πολὺς ἐφ᾽ ἡμέραις τε πλείοσι, καὶ οὐκ ἦν τινα προσπλεῦσαι πώποτε κἂν τὸ σύνολον. φησὶν οὖν τῷ μαθητῇ ὁ τρισόσιος· «ὕπαγε, εἶπον [φορ εἰπέ ορ λεγε· εἰπών] τῇ θαλάσσῃ· ϡκαταστόρεσον ἤδη τὸν κλύδωνα,ϡ ὅπως ἀπέλθω εἰς τὸ ἐμὸν μοναστήριον.» ὁ δὲ ἀπελθὼν εἶπεν, ὡς ἐκελεύσθη καὶ προστέτακτο, καὶ παραχρῆμα γαλήνης ἀταράχου γενομένης, οἷά περ ἐδέησεν, ἀπῆλθεν πρὸς τὴν οἰκείαν μονὴν καὶ τοῦ θελήματος ἢ κελεύσματος οὐ διέψευσται. ὡς γὰρ τὸ τοῦ κυρίου αὐτὸς ἐπλήρου πάντοτε θέλημα, οὕτω καὶ τὸ ἐκείνου αὐτὸς ἐτέλεσε βούλημα· ὅτιπερ ϡτῶν φοβουμένων αὐτὸν ποιήσει θέλημα καὶ τῆς αὐτῶν

εἰσακούσεται δεήσεως καὶ σώσει αὐτούς,⁊ γέγραπται. αὐτὸς οὖν παρεστὼς διὰ τῆς ἀεννάου <ἐν> καρδίᾳ προσευχῆς τῷ παντεφόρῳ κυρίῳ πανέτοιμα, ᾗ φησιν Ἠλίας ⁊ζῇ κύριος, ᾧ παρέστηκα ἐναντίον αὐτοῦ σήμερον,⁊ οὕτως οὖν παρεστὼς αὐτῷ ταῖς προσευχαῖς καὶ ταῖς διηνεκέσιν ἐντεύξεσιν, οὐ δεσποτικῶς [p. 26] ἐπιτρέπων φαίνεται παρ᾽ ἑαυτοῦ τολμηρότατα, ἀλλ᾽ ἐξ ἐκείνου λαβὼν τὸ νεῦμα καὶ κέλευσμα, ὡς ἐξ ἐκείνου ἐδόκει ἐπιτρεπτικῶς κινεῖσθαι πρὸς τὸ σύνδουλον στοιχεῖον τὴν θάλασσαν βεβαιότατα· καὶ οὐ διήμαρτε τοῦ προστάγματος, μή τι γένηται, ἐπειδὴ εἶχεν τὴν θείαν διὰ τοῦ ἑαυτοῦ στόματος ἐπισφραγιζομένην βούλησίν τε καὶ κέλευσιν.

41. τοιούτοις καὶ μείζοσιν ἐγκαλλωπισάμενος ἀπὸ δευτέρας ἐπὶ τρίτην καὶ μέχρις ἑβδόμης ἡλικίας κατορθώμασιν, εὐσεβούντων καὶ τῶν καιρῶν ἀπὸ Εἰρήνης τῆς φιλοχρίστου καὶ ἐπὶ Νικηφόρον τὸν φρονιμώτατόν τε καὶ πανορθόδοξον, τὸν ἐλευθερογνώμονα καὶ θεόδουλον, τὸν εὐσεβοπρεπῆ καὶ πιστότατον, τὸν ἀνεπίγνωστον προσώποις ἐν κρίσει καὶ ἀδιάψευστον νοήμασιν ἐν ψήφῳ, τὸν οὐ διαλύσαντα σώματος αἷμα καὶ κατεντάξαντα πταίσματος κρῖμα, τὸν οὐ κολοβώσαντα αἴσθησιν μέλους καὶ οὐ διατμήξαντα ἄρθρα ὀργάνων, τὸν οὐχ ὑποσπάσαντα ὃ μὴ ἐπηύξει καὶ οὐ παρεκτείναντα μήνιδι λύσιν, τὸν οὐ κατεάξαντα καλάμου θλάσιν καὶ οὐχ ὑποσβέσαντα λίνον καπνίζον, τὸν ταῖς

ἀπροσκλινέσιν ἀμφημεριναῖς περιόδοις τῶν κρίσεων ὑπογράφοντα τὴν προσδοκωμένην ἀδέκαστον ἔασιν, τὸν τοῖς ἀρρήτοις κρίμασι τοῦ κυρίου βαρβαρικῆς χειρὸς παρανάλωμα γενόμενον καὶ πνευματικῶν ἀνθρώπων ταῖς διακρίσεσιν, οἳ καί, ὥς φησιν ὁ μέγας ἀπόστολος, πάντα ἀνακρίνουσιν, αὐτοὶ δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνονται· τούτοις μισθοφορίας τινὸς χάριν καὶ ἁμαρτίας ἐκπλύσεως ἕνεκα συγχωρηθῆναι τοῦτο ὑπονοοῦμεν.

42. εἶτα τοῦ γαμβροῦ ἀντιλαμβανομένου τῆς βασιλικῆς διοικήσεως καὶ εἰς διετῆ χρόνον μηνῶν δύο ἀποδεόντων ταύτῃ ἐγκαταστάντος καὶ δι᾽ ἐπιβουλῆς ἐκστάντος τοῦ διαδήματος, ὡς εἶναι τάχα δύο τινὰ πάλιν ἐν τούτῳ οἰκονομούμενα, αὐτῷ μὲν τὸ γνωρισθῆναι, ὡς πόσου ἐπάξιος (δέδεικται γὰρ ὅτι καὶ βασιλείας διὰ τὸ εὐθὲς τῆς προαιρέσεως), Ῥωμαίοις δὲ δοθῆναι παραψυχῆς καὶ δρόσου ὕδωρ εἰς ἔκπωμα. τοῦτο γὰρ πᾶσιν ὤφθη Μιχαὴλ βασιλεύσας ὁ πρώτιστος. εἰ γὰρ καὶ εὐσεβεῖς γονέας, Νικηφόρον φημὶ καὶ τὸν υἱὸν αὐτοῦ Σταυράκιον τὸν γυναικάδελφον διαδέχεται, οὐ πολὺ τοῖς εἰδόσιν ἐν νεωτερικῇ ἡλικίᾳ τὸ φρόνημα καὶ μέγα τὸ τῆς σοφίας καὶ φιλοθεΐας καὶ συγχωρήσεως ἐν νεανιευούσῃ φύσει, ὅπερ πανθαύμαστον, ὡς ἔδειξεν ἡ ἑξηκονθήμερος ἐκείνη μετὰ τὴν πληγὴν εἰς τὰ ἀνάκτορα τούτου ἀναστροφὴ καὶ διοίκησις· καὶ εἰ τοιούτους ὄντας ὁ γαμβρὸς διαδέχεται, ἀλλ᾽ ὅμως

τοσοῦτον μετ᾽ αὐτοὺς αὐτὸς
[p. 27] Μιχαὴλ ὁ ἀρχαγγελόγνωμος καὶ φερώνυμος ἀγαθότητι ὑπερέλαμψεν, ὡς διὰ τὴν ἄγαν αὐτοῦ ἐπιείκειαν ἐξαποπεσεῖν καὶ ὑποκλαπῆναι δολιόφρονι συστροφῇ τολμητοῦ τοῦ ἀγνώμονος, ὃς ἀντὶ τῆς τιμῆς, ἧς παρ᾽ αὐτοῦ ἔτυχεν, τὴν ἐκριφὴν αὐτῷ καὶ ἐπιβουλὴν ἐκίσσησεν ὁ πανδείλαιος. οἱ γὰρ συνάραντες τῇ δυσβουλίᾳ καὶ συμφρονήσαντες τὴν κακόνοιαν οὐδὲν ἕτερον εὗρον αἰτίαν μετὰ πολλὴν ἐξερεύνησιν, ἢ τὸ μὴ δύνασθαι εἰσέτι τῆς ἀγαθοδότιδος γνώμης καὶ εὐανοίκτου χειρὸς αὐτοῦ ἐξαντλεῖν τὰς ἀφθονοβρύτους αὐτοῖς χάριτας, ὡς τάχα ταῖς παρ᾽ αὐτοῦ εὐπαθείαις οὗτοι καταμοχθήσαντες, καὶ ταῦτα τινῶν τῶν ἐξ ἑταίρων καὶ πανεξόχων προσγενῶν αὐτοῦ καθεσταμένων ἀγνωμονέστατα, οἳ καὶ τῆς ἐκείνου <τοῦ> θεοπρο{σ}κρίτου προδοσίας τὴν ἄμειψιν ἐφ᾽ ἑαυτοῖς παρὰ τοῦ προβληθέντος αὐτοῖς δυσδεξιώτως, καθὰ ἔπρεπεν, θᾶττον ἢ κεκρατήκει ἀντητιμώθησαν. τούτων γοῦν ἀναπληρούντων τὰς θεοχαρίτους ἡμέρας τῆς βασιλείας αὐτῶν τὰ εἰρημένα τοσαῦτα καὶ πλείονα κατορθώματα τῷ παναγίῳ πατρὶ Θεοφάνει χριστοδωρήτως ἐνείργηνται, ἀπὸ δευτέρας ἐπὶ τρίτην ἡλικίαν μέχρις ἑβδόμης τελείας <ἔτη> τεσσαράκοντα ἐννέα σὺν καὶ τῇ παιδικῇ ἀριθμούμενα.

43. τῷ δὲ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ ἀσθενείᾳ τινὶ παραδίδοται, ἥτις ἦν λιθίωσις κύστεως καὶ νεφριτικῆς ἐπακολουθίας σύμπτωμα, δυσχερῆ τὴν τοῦ

ὕδατος παρεχόμενον ἔκκρισιν· ἦν γὰρ τοσαύτη ἡ ἐξ ὑπεροπτήσεως χυμοῦ λιθοφορία, ὡς δοκεῖν τοῖς ὁρῶσι πέτραν τινὰ λατομεῖσθαι καὶ ταύτης ἀποκλᾶσθαι τὰ ἐκβαλλόμενα, ἤπερ σώματος σαρκίνου πιστευθῆναί ποτε τοσαῦτα ἐκπροχεῖσθαι σαθρίσματα. ἔλεγχος τοῦτο τῆς ἀνθρωπίνης εὐτελείας τε καὶ σμικρότητος καὶ διδαχὴ τοῖς ἄλλοις ἡμῖν αὐτοῖς στοιχεῖν ὡς συμφερούσαις ταῖς θείαις κρίσεσι, κἂν ἀνιῷεν τὰ μάλιστα. οὕτω γὰρ Παῦλος καὶ τὸν δυσαχθῆ χαλκέα Ἀλέξανδρον, τροπικῶς δὲ καλούμενον σκόλοπα καὶ δεδομένον αὐτῷ εἰς ταπεινοφροσύνης ὑπαίνιξιν, μετὰ πλείονα τὴν παράκλησιν ἔτι ἔφερεν καὶ προσφυσῶντα τοὺς τῆς κακίας ἀπαύστως ἄνθρακας καὶ ἀφανίζειν πειρώμενον τὴν ἐνεργῆ τῶν λόγων τοῦ κηρύγματος ἔκλαμψιν ταῖς αἰθαλώδεσι καὶ ἀμαυροτέραις διαβολαῖς αὐτοῦ καὶ ὡμολόγει τρὶς παρακαλέσαι ὑπὲρ τούτου τὸν κύριον καὶ συνωμολόγει τὴν θείαν χάριν εἰρῆσθαι ἀρκεῖν αὐτῷ, ὡς ἐν ἀσθενείᾳ τελειουμένης τῆς τούτου δυνάμεως.

44. ἔμεινε λοιπὸν καὶ οὗτος μέχρι παντὸς τοῦ βίου ταύτῃ τῇ νόσῳ κλινήρης τε καὶ ἀκίνητος, ὑπομονὴν θαυματουργούμενος θεόθεν τὴν μείζω
[p. 28] πάσης ἰάσεως· ⸂ἡ γὰρ ὑπομονή⸃, φησὶν ὁ μέγας ἀπόστολος, ⸂δοκιμὴν κατεργάζεται, ἥτις ἐπὶ ἐλπίδα τὴν ἀκαταίσχυντον πάλιν ἐκπέμπει⸃· οὐ πάντως δὲ καὶ ἡ ὑγεία κατοικειοῦται πάντοτε τὴν διόρθωσιν, διὸ καὶ ὁ κύριος τῷ εὐδιορθώτῳ παραλύτῳ

φησίν· “μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοι γένηται,” ὡς οὐκ ἐχούσης δηλονότι τῆς ῥώσεως καὶ τὸ βέβαιον τῆς διορθώσεως. οὐκοῦν ἔμεινε, καθάπερ ἔφθην εἰπών, ὁ μακάριος τῇ ἀσθενείᾳ ῥωννύμενος καὶ τῇ ὑπομονῇ ταύτης θαυματουργούμενος.

45. καὶ ἐν τῷ μέσῳ τῆς ὀγδόης ἡλικιώσεως χρόνῳ, ὅπερ ἐστὶ τρίτον καὶ πεντηκοστὸν ἀριθμούμενον, ἐκράτησεν ὁ τυραννήσας τὸν τιμήσαντα, ὥσπερ ἔφαμεν, καὶ ἀφελόμενος τῷ δόλῳ τῆς βασιλείας τὸ λάβωρον {καὶ} σκῆπτρον ἀρμενιογενὲς τῇ Ῥωμαίων ἀρχῇ συγκατέμιξεν· καὶ οὐχ, ὡς Δανιήλ φησιν, ὄστρακον σιδήρῳ, τὸ εὔθρυπτον τῷ σκληρῷ ἀναφύρας, ἀλλὰ κόπρον ἱππείαν τῇ εὐωδίᾳ χριστιανῶν παραρτύσας, ὅσα τὴν ἐκκλησίαν ἔδρασεν καὶ ἐνύβρισεν, ὅσα δεδήμευκε καὶ κατέπαιξεν, οἷα πεφαύλικε καὶ πεπάτηκεν, ἄλλου καὶ τοῦ λέγοντος καὶ τοῦ καιροῦ ταῦτα δέεται, μεγίστων ἀμφοτέρων, εἴτ᾽ οὖν ἰσχυροῦ καὶ παρατεταμένου, ὡς πάνυ γε, πραγματείαν γὰρ οἰκείαν καὶ τεῦχος ἰδιοσύγγραφον βίβλου ὑπερεκπλῆσαι δυνάμενα· τοσοῦτον δὲ εἰπεῖν τεκμαιρομένους ἀναγκαῖον, ὡς τοιαῦτά τε καὶ τοσαῦτα ὑπῆρχεν ἅπερ τὴν ἐκκλησίαν καὶ τὸν αὐτῆς ἄγγελον καὶ σὺν αὐτῷ τοὺς ἀμφ᾽ αὐτὸν ποιμένας μείζονάς τε καὶ μείονας ἅμα τοῖς χριστοτρόποις θρέμμασι κακὰ ἔδρασεν, ὅτι οὐδενὶ τῶν πώποτε σὺν κακίᾳ βασιλευσάντων τοιοῦτο πέρας δύσαντες συγκεχώρηται προμηθευτικώτατα, οἷον τούτῳ

συμβέβηκε θεοψήφιστα. ᾧ γὰρ ἡ σωτηρία καὶ λῃσταῖς τόπῳ δίδοται, τούτῳ φονοκτονεῖται ὁ προλῃστεύσας τὰ ἅγια· οὐ γὰρ ἠδύνατο σώζειν ἡ πανσθενὴς ἐκκλησία τὸν ἀσθενῆ ταύτην πεποιηκότα καὶ ἄνανδρον, διότι χώρα δικαίων καὶ τῆς ἐξ οὐρανοῦ διακυψάσης δικαιοσύνης νύμφη δικαίως καθέστηκεν, τοῦ ἐν δικαιοσύνῃ φημὶ τὴν οἰκουμένην κρίνοντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ οὐ δεδύνηται σώζειν, ὡς εἴρηται, ἤτοι οὐ τεθέληκε ῥύεσθαι τὸν μὴ θελήσαντα ταύτην τρισάθλιον· ἐν τούτῳ γὰρ ἔγνων φησὶν ὁ Δαυὶδ πρὸς τὸν θεόν ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ᾽ ἐμοί. νυνὶ δὲ τοῦτον ἡ ἐκκλησία, ὡς τοῖς ἐχθροῖς δι᾽ αὐτοῦ προδοθεῖσα ἐπίχαρμα, εἴασεν αὖθις ἀντεπιχαρῆναι αὐτῷ τοὺς ἐχθράναντας καὶ οὐκ ἀντελάβετο· οὐ γὰρ ἦν ἄκακος, ἀλλ᾽ ἐσάλευσε καὶ κατέρρηξε πτῶμα αἰώνιον. ἀμέλει καὶ μιαίνει
[p. 29] τῷ λύθρῳ τῷ μιαρῷ τὸ θυσιαστήριον, ὡς πρὶν τῇ κινναβάρει τῆς αἱμοχαροῦς χειρὸς γράφων κατὰ θεοῦ ἐν τῷ τοῦ θεοῦ ναῷ καὶ κλήσει οὐ μέλλων ὁ εὐεπίληστος. οὕτως οὖν οὗτος, ὡς εἴθε μηδ᾽ ἄλλος, βασιλεύσας καὶ δράσας ὑφ᾽ ὧν δραθῆναι ἔμελλεν, ἅπερ ἔπρεπεν, Λέων ὁ δυσλέων καὶ λεαίνων πολύθρυπτα τοὺς ὄνυχας, <οὓς> μικρὸν ὑπεδείξαμεν, ὅπως ἐσπάραττον καὶ ὅπως εἰκὸς συνετρίβησαν, οὗτος κρατήσας τῆς βασιλείας καὶ κρατηθεὶς ὑπὸ τοῦ σατανᾶ κάλ<λι>στα μετὰ τὴν ἧτταν, ἣν νενίκηται, δόξας τὴν ἐκκλησίαν τροπώσασθαι μετά τε τὸ ἐκβαλεῖν τὸν κληρ<ον>όμον καὶ δόξειν κληρονομῆσαι

τὴν ἀλωήν, ἣν ἐξέτιλεν μετὰ τὸ διαφθαρῆναι τὸν βότρυν, ὃν κερδοτρόπως ἐπίκρανε, μετὰ τὸ καταισχῦναι τὴν ἐπιθυμητὴν μερίδα σὺν τοῖς πολλοῖς ποιμέσι τοῖς λυκοτρόποις πᾶσιν, ὧν ἡ πλατεῖα γαστὴρ καὶ εὐρύχωρος γέεννα, ὡς ἄστρῳ πολυφεγγεῖ ἀρεταῖς τῷ κατ᾽ οὐρανόν, τὴν ἐκκλησίαν λέγω, πεπηγότι Θεοφάνει τῷ παμμάκαρι ἀκτινοβολεῖται τὸ τῆς καρδίας πηλόφθαλμον ὁ πηρότατος καὶ πέμπει πρὸς αὐτὸν δολιόλεκτα, «ἐλθέ» λέγων «εὐξόμενος ὑπὲρ ἡμῶν, ὅτι κατὰ βαρβάρων ἀπαίρομεν.»

46. τούτων ἀκούσας τῶν δηλωμάτων ὁ χριστομίμητος, τὰ τοῦ κυρίου τοῖς μαθηταῖς βεβαιῶν παραγγέλματα, «γνώσονται πάντες» φησίν «ὅτι θεοῦ μαθηταί ἐστε ἐκ τῆς πρὸς ἀλλήλους ἀγάπης, ἣν προδεικνὺς τῷ ὑπὲρ ἡμῶν ἀποθανεῖν ὁ φιλάνθρωπος ταύτην ἔλεγε τοῖς φίλοις καὶ παρετίθετο τῆς αὐτῷ μαθητείας δωρήματά τε καὶ γνωρίσματα, τοσαύτην οὖσαν τὴν θεοπαράδεικτον ἀγάπην, ὥστε ἐκ ψυχῆς ἀφειδῆσαι καὶ ὑπὲρ φίλων δούλων μισούμενον δεσπότην ἑαυτὸν δεδωκέναι παμφίλτατα.» εἶτα τὴν ἐπὶ τούτῳ ἀναγκαίαν καὶ ἀπαρέγκλιτον τῆς πίστεως παράδοσιν τηρῆσαι διεμαρτύρετο, ὡς καὶ θανεῖν εὔξασθαι ἀδικουμένους ὑπὲρ τοσούτου προθυμουμένους πράγματος, οὐ μὴν ὑπελθεῖν τῶν τῆς κακίας ἐργατῶν τὴν ζωὴν τὴν ὑπόσαθρον. ταῦτα ποικίλαις διδαχαῖς ἐπιμαρτύρως παλαιᾶς καὶ νέας γραφῆς τῆς θεοπνεύστου καὶ τῷ παρ᾽ ἑαυτοῦ τῆς ἐνστάσεως λόγῳ, λαμπήνῃ βληθεὶς

διὰ τὸ ἀκίνητον ὅλως καὶ ἀνεπίβατον, ἐκ <δὲ> τῆς ἁμάξης μετατεθεὶς εἰς πλοιάριον, ἤχθη πρὸς τὴν βασιλεύουσαν τάχιστα. καὶ τῆς μὲν δυσειδοῦς ὄψεως τοῦ τυραννοῦντος θεοχαρίστως οὐκ ἔτυχεν, πλὴν δηλωμάτων <δωρεῶν> ἀμφιλαφῶν, ὡς καὶ πάνυ γε, ἐχόντων ἐπαγγελίας, εἰ <ἕ>ποιτο, καὶ συνεχόντων <ἀπειλὰς> κακοπαθείας, εἰ ἀπειθήσειεν· τὰ δὲ ἦν ὅτι· «εἰ κατανεύσεις καὶ συνθήσει τῇ παρακλήσει μου, καὶ σοὶ καὶ
[p. 30] τῇ μονῇ σου ἀγαθοποιήσω ἐξαίρετα· παρακούοντι δὲ καὶ πειρωμένῳ τὰς παραινέσεις μου διακρούεσθαι ξύλῳ ἀγχόνης παραδειγματίσω καὶ τῶν ἄλλων εἰς φόβον σε.» προτεθεικὼς καὶ ὅρκον ἐθελογνώμονι κακίᾳ τοῦ φιλεῖν ἐπιορκεῖν ἐν τῷ μὴ δόξειν ἐκβάλαι τὸ ὀμνυόμενον, ἵνα πάντως ἑνί γε κακουργῶν τῶν δύο διαδεικνύοιτο, ἢ ἀναιρῶν ὡς μισάνθρωπος, ἢ ἐπιορκῶν ὡς θεοπάροπτος. ταῦτα τῷ θεοστυγεῖ διαπεμπομένῳ πρὸς τὸν φιλόχριστον ἀπόκρισις παρ᾽ αὐτοῦ γίνεται αὕτη παρέτοιμα· «τῶν μὲν δωρεῶν σου μὴ ἐκκενώσῃς τὰ θησαυρίσματα, τῶν δὲ ἀπειλῶν σου σπεῦσον ᾗ [λεγε· ἢ] λόγος τὸ ἔργον ἐνδείξασθαι· μαρτύρομαι γὰρ θεοῦ κατενώπιον, ὡς εἰ ἐκλύσεις με τοῦ δυσαχθοῦς καὶ πολυοδύνου σωματίου μου, οὗ τὰς ἀνίας μόγις ὑφίσταμαι, χάριν ὁμολογῶ σοι εὐεργετοῦντι καὶ παρὰ γνώμην μέν· εἰ δὲ καὶ οἵαν ἀπόπειραν τοῦ αἱρεῖσθαί με θάνατον τὸν ὑπὲρ ἀληθείας, ὡς σωτηριοφόρον ποτήριον, στῆσον τὸ ξύλον, ἢ ἆψον τὸ πῦρ ἤδη σήμερον· καὶ εἰ μὴ τονωθεὶς

προθυμίᾳ μου ἐρωτῶ, εἰς ὁπότερον προσέλθω ταχύτατα, γνῶθι ὡς συνηφρονευσάμην τῇ κακονοίᾳ σου καὶ οὐκ ἐνέστην εὐσεβῶς ἀγχινούστατα.»

47. ταῦτα ἀκούσας ὁ ἀδικώτατος παρέδωκεν Ἰωάννῃ τῷ μαγομάντει τὸν ὅσιον, λόγων, ὡς ᾤετο, τῇ στρεβλότητι, ἣν οὐδ᾽ αὐτὴν εὐπόρησε προσφερόμενος <καὶ> διαλέξεσιν, ἀντεπεκκλῖναι [λεγε· ἀντεπεγκλῖναι] τὸν γενναῖον ἡγούμενος. ὃς παραληφθεὶς αὐτῷ ἐν τῇ Ὁρμίσδου μονῇ τοῦ ἁγίου Σεργίου καὶ Βάκχου, τῇ προσπαρακειμένῃ τῷ παλατίῳ, πολλοὺς δινήσαντι λόγους καὶ σκολιωθέντι ἄπρακτα, εἶτα καὶ τῶν ἀπειλῶν ἐποιήσατο καταγελασθῆναι πλειότερον. ἐπάνεισι πρὸς τὸν παραδόντα αὐτὸν ἀντιπαραθησόμενος, κακηγορῶν δὲ ἐπῄνει τὸ ἀμετάθετον, ὡς σίδηρον λέγων <κρεῖσσον> μαλάξασθαι δύνασθαι τῷ κηρῷ ἰσόχρεα, ἢ τὴν τοῦ τοιούτου ἀνδρὸς καρδίαν κἂν ὡς ὑποσταλῆναι πεῖσαί ποτε· ὅθεν «εἴπερ κελεύεις» ἔλεγεν πρὸς τὸν τύραννον «λαβὲ αὐτὸν ἐξ ἡμῶν τάχος ᾗ βούλει, ὦ δέσποτα, ἐπεὶ καὶ τοὺς μεθ᾽ ἡμῶν καθ᾽ ἡμῶν ἀνατρέπων ἐποίησεν· οὓς δὲ εἰς πειθὼ παρελάβομεν, εἰς κενὸν κεκοπώμεθα θλίβοντες, ἀνατραπέντων ἁπάντων ταῖς ὑπὲρ λόγων τούτου ἐνστάσεσι.» ἦν γὰρ πολλοὺς ὡς ὄντως ὑποπιέζων λιμῷ καὶ δίψει καὶ σκότῳ καὶ τῇ λοιπῇ ὀλιγωρίᾳ καὶ καταστενῶν καὶ κατατρύχων εἰς ἐθελοπείθειαν ὁ τρισάθλιος.

48. τότε δὴ μετάγει τοῦτον ἀπὸ τοῦ Ἰωάννου ὁ δυσώνυμος εἰς τὰ Ἐλευθερίου ἀνάκτορα καὶ κατακλείσας ἐν σμικροτάτῳ οἰκήματι καὶ [p. 31] καταστήσας φρουροὺς ἀσυγχώρητα, ὡς μηδὲ διακονεῖσθαι παρά τινων, κἂν οἰκτίζοιτο, ἐπὶ διετῆ χρόνον ἐκεῖσε παρείασεν θλίψεσι καὶ στενοχωρίαις κατατρυχόμενον· καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη. καὶ ὁ πρὸς χεῖρα τούτου φησὶν αὐτῷ ὡς· «συγκρίσεσιν τυχὸν κληθείη ποτὲ ἡ ἀπεσκληκυῖα καρδία τοῦ κρατοῦντος, ὦ κύριε, καὶ τῷ ἀκούειν σου τὴν στερρὰν ἀσθένειαν προσελεήσει τὸ γῆράς τε καὶ ἄτονον καὶ ἀποστελεῖ σε εἰς τόπον τὸν ἴδιον, ὅπως ἐκεῖ τελειωθείης εἰρηνικώτερον.» μειδιάσας δὲ ὁ γλυκύτατος τῷ προσπαρηγοροῦντι εὐθὺς ἀποκρίνεται· «οὐχί, τέκνον, οὐχί· οὐκ ἀπολύει με εἰς κελλίον μου, ἀλλ᾽ ἐξορίζει με πάντως εἰς νῆσον σκληράν τε καὶ ἀπαράκλητον, ἐν ᾗ προσυπαντήσας ὑποδέξεταί τις ἡμᾶς καὶ ξενίσει πρεσβύτερος.» οὕτως ἐπύκτευεν καὶ οὐκ ἀέρα δέρων καὶ οὕτω προέβλεπεν τὸ ἐσόμενον, ὡς καὶ τὴν μισθαποδοσίαν ἀποβλέπων εὐέλπιστα· οὐ γὰρ ἀδήλως ἔτρεχε, καθὰ γέγραπται, ἀλλ᾽ ἑώρα τῇ πίστει τὸν σταδιάρχην ὑψηλῶς προκαθήμενον· τὴν γὰρ δεξιὰν βοηθοῦσαν καὶ στεφανοῦσαν δικαίως προέτεινεν καὶ τοὺς ὑποπιεσμοὺς εἰς συγκαιρίαν ἐδέχετο καὶ τὰς ἐκθλίψεις συνδρομὰς ἐλογίζετο κἀντεῦθεν ἀπεκαλύπτετο τὸ ἐσόμενον, ὡς ἤδη τῇ προθυμίᾳ μετὰ τοῦ μαρτυρουμένου αὐτῷ ὑπάρχων Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ ἅτε φίλος, οὐ δοῦλος, γινώσκων τὸ τοῦ

κυρίου αὐτοῦ βούλημά τε καὶ θέλημα.

49. ἐπὶ ταύτῃ τῇ προοράσει τῷ ὑπουργῷ ᾐωρημένῳ ὁ τύραννος πολλαῖς καὶ διαφόροις διὰ δηλωμάτων ἀπειλαῖς καὶ κολακείαις τὸ διετὲς τῆς κακώσεως τῷ μακαρίῳ διατείνας, ἀπειπάμενος ἔτι τὸ ἐπικρύπτεσθαι, δηλοῖ αὐτῷ λοιπὸν τὸ τέλος, ὅπερ καὶ πρὸ ἐκείνου ἠπίστατο καὶ προειρήκει ὁ ὅσιος ὅτι· «ἐπειδὴ μένεις ἀκαμπὴς καὶ ἀμείλικτος, εἰς τοιαύτην τραχεῖαν καὶ ἀπαράκλητον νῆσον ἐξορίσω σε, ἵνα καὶ τῆς τοῦ ὕδατος μεταλήψεως ἐπιθυμίαν σχοίης πλησθῆναι καὶ μὴ εὑρήσειας.» ὁ δέ φησιν εὐαπόκριτα· «ὅμως ἐπειδὴ σὺν τῷ παντὶ καὶ ἐν αὐτῷ ὁ θεός ἐστιν, μᾶλλον δὲ ἐν τούτῳ τὸ πᾶν, ὅτι αὐτὸς τοῦ παντὸς τόπος, ὃς ὑπὲρ τόπον καθέστηκεν, αὐτῷ ἀρκοῦμαι ἀνθ᾽ ὑπὲρ πάντων καὶ τὴν δυσχέρειαν οὐ λογίζομαι· αὐτῷ μελήσει περὶ ἐμοῦ, ὡς τοῦ παντὸς πρυτάνει, καὶ αὐτὸς παρασταίη πλατύνων ἡμῖν ἐν ταῖς θλίψεσι.»

50. τηνικαῦτα ἐξορίζεται ἐν τῇ τῆς Σαμοθρᾴκης νήσῳ καὶ γίνεται τὰ τῆς προρρήσεως λόγια πράγματα τέλεια, καὶ ὑπαντᾷ ὁ πρεσβύτερος καὶ ξεναγεῖ, ὡς προέγνωστο, καὶ πείθεται πιστεύειν ὁ τούτου διάκονος, ἅπερ
[p. 32] πρὸ τῶν πραγμάτων ἤκουσε λόγια. καὶ ὁ μὲν ἀθλητὴς τὴν ὑπερορίαν ἀπαγωγὴν ὡς ἀπόφασιν εἴληφεν καὶ κατέλαβεν, οὐκ εἰς μακρὸν δὲ καὶ τῆς εἱρκτῆς τοῦ σώματος ἐξαφίπταται καὶ τῷ οὐρανίῳ φωτὶ

καταπέπαυκε καὶ τὴν πηλὸν τῆς σαρκὸς τῇ κραναῇ νήσῳ εἰς εὐλογίαν ἀφέμενος τῷ φιλοψύχῳ θεῷ παραστάτης ἀνακομίζεται. τὴν γὰρ τοῦ Παύλου ἐπιποθίαν ἔχων, τὸ ἀναλῦσαί φημι καὶ σὺν Χριστῷ εἶναι, καθὰ λέλεκται, τὴν ἁπλῆν στολὴν παρὰ τοῦ στεφοδότου θεοῦ τὴν κατὰ ψυχὴν ἀνταπόδοσιν δέχεται, ἥτις ἐστὶν ἡ τοῦ θεοῦ γνῶσις, ἥτις καὶ βασιλεία οὐρανῶν καθίσταται καὶ πιστεύεται καὶ παράδεισος, πρὸς ὃν μετὰ Χριστὸν ὅλης τῆς κατεπαγγελίας γεγένηται, καὶ τοῦτο οὔσῃ τῇ τοῦ υἱοῦ θεότητι. δι᾽ ἐπιγνώσεως ὁ λῃστὴς εἰσήχθη εἰς τὸ μυεῖσθαι, ὡς τρυφήν, τὴν πλείονα γνῶσιν καὶ σὺν τῇ παρατεθείσῃ κυρίῳ ψυχῇ εἰς τὰς πατρῴας χεῖρας, αἵτινές εἰσιν αὖθις ἡ αὐτὴ τοῦ υἱοῦ ὑποστατικὴ θεότης, ἐν ᾗ τό τε σήμερον καὶ ἑξῆς παραδεισοτρόπως ηὐλίσθη, ἐφ᾽ ἣν ὡς ἐπὶ οἰκείας χεῖρας καὶ τὰ τῆς ἄνω Ἱερουσαλὴμ ἐζωγραφηκέναι τείχη ὁ πατὴρ διὰ Ἡσαΐου κραυγάζει. αἵτινες ἡ τοῦ Χριστοῦ θεότης ὑπάρχουσαι, ἡ μία σὺν τῇ <τοῦ> πατρὸς καὶ τοῦ πνεύματος μένει τοῖς οἰκείοις ὀφθαλμῷ παντὶ καὶ ὠτὶ καὶ καρδίᾳ ἀκατόπτευτος καὶ ἀνεξάκουστος καὶ ἀνευνόητος [λεγε· ἀνεννόητος?], ἵνα ᾖ βεβαιούμενον καὶ <τὸ> ⸂τὸν θεὸν οὐδεὶς ἑώρακεν πώποτε,⸃ ὡς οὐδὲ ἃ ἡτοίμασεν ἀγαθὰ τοῖς ἀγαπῶσιν αὐτόν, ἤγουν ἑαυτόν, ὃς μηδόλως κἂν ὑπολαμβανόμενος ὅ τί ποτέ ἐστιν γίνεται πάντα τοῖς καταξιουμένοις αὐτοῦ καὶ βασιλεία καὶ τρυφὴ καὶ παράδεισος· οὐδὲ γάρ ἐστιν ἡ τοῦ θεοῦ βασιλεία βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη

καὶ εἰρήνη καὶ χαρά· χαρὰ δὲ καὶ εἰρήνη καὶ ἴσα τούτοις δικαιοσύνη οὐ κατὰ τὰς ἐν σαρκί, ἀλλ᾽ ἐν πνεύματι ἁγίῳ, φησίν, ἧς ἀπολαύει μὲν ὁ λῃστὴς καὶ ὁ Παῦλος ὡς παραδείσου θείου καὶ κυριακῆς συνδιαγωγῆς ἁπλοϊκῶς, εἴτ᾽ οὖν κατὰ ψυχὴν μόνην, καθὰ εἴρηται, μετὰ τῶν κατ᾽ αὐτοὺς ἀξίων καὶ ὑπερεξαιρέτων τοῖς ἀγωνίσμασι.

51. ὡς ἀληθής τε ἀριστεὺς καὶ ὁ ἡμέτερος ὑπερπρεσβευτὴς σὺν αὐτοῖς τε ἅπασι τῆς τε συνδιαγωγῆς τῷ κυρίῳ καὶ τῆς ἐν παραδείσῳ τρυφῆς, τῆς τε οὐρανῶν βασιλείας καὶ τῶν ἡτοιμασμένων τοῖς τὸν θεὸν ἀγαπῶσιν ἀγαθῶν, ἃ πάντα μόνος αὐτός ἐστιν ὁ θεός, ὃν οὐδεὶς ἑώρακε πώποτε καὶ διὰ τοῦτο οὐδὲ τὰ παρ᾽ αὐτῷ ἀγαθά, ἅπερ ἐστὶν αὐτός, ὥσπερ ἔφαμεν, καταξιοῦται γυμνῇ τῇ ψυχῇ, ὡς ἁπλῇ στολῇ, καὶ κομίζεται τὴν τελείωσιν δηλονότι,
[p. 33] ἥτις ἐστὶν ἡ διττὴ στολή, ἤγουν ἡ κατὰ ψυχὴν καὶ σῶμα φωτενδυσία, περὶ ἧς καὶ ἡ ἀπὸ τοῦ θυσιαστηρίου ἐξελθοῦσα φωνὴ πρὸς τὸν περὶ τοῦ ἀρνίου ἐσφαγμένον τὸν ἐπὶ τῷ αὐτῶν αἵματι θεῖον ἔλεον ἐγκαλούμενον γέγονεν, ὡς υἱὸς τῆς βροντῆς φησιν ὅτι ⁊περιμείνατε ἕως ἂν εἰσέλθωσι καὶ οἱ ἀδελφοὶ ἡμῶν⁊ καὶ ὅτι ⁊ἐδόθη τέως αὐτοῖς ἁπλῆ στολή,⁊ ταύτην ἣν λέγει περιμεῖναι τελείωσιν ἐν τῇ κοινῇ ἁπάντων τῶν γεννηθέντων ἐξαναστάσει προσεκδεχόμενος, ἐπείπερ μέχρις ἐσχάτης ἡμέρας διὰ τῶν κατὰ καιροὺς εὐαρεστούντων κυρίῳ ἀδελφοὺς

οἱ ἅγιοι θείαις ἐπικτῶνται ταῖς χάρισιν, ᾗ φησιν ὁ τὰ μυστήρια γράφων τῆς ἀναστάσεως ἡμῖν θεῖος ἀπόστολος, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν, τῷ καὶ ψυχῇ καὶ σώματι συνεξαστράψαι κυρίῳ τελειότητα ὁριζόμενος, ἔμφασίν τε τῷ τοῦ ‵τελειωθῶσιν′ ῥήματι τῆς τοῦ μερικοῦ μεθέξεως ὑπενδίδωσιν, ἐπειδὴ τὸ τέλειον πρὸς μερικόν ἐστι τέλειον, ὡς καὶ τὸ ἔμπαλιν τὸ μέρος τοῦ τελείου πάντως μέρος καθέστηκεν.

52. ταύτῃ τοι τὸ τέλειον σὺν Παύλῳ καὶ τῷ λῃστῇ καὶ τῷ παντὶ ἀνθρώπῳ ἀπεκδεχόμενος, ὁπηνίκα ἐκλάμψωσιν ὑπὲρ τὸν ἥλιον οἱ δίκαιοι, ὥς φασι τὰ κυριακὰ λόγια, τέως νυνὶ τὴν μετὰ τῶν δι᾽ αἵματος παρρησιασμένων κυρίῳ καὶ τῆς αὐτοῦ γνώσεως ἀπολαυόντων ἁπλῇ ψυχῇ τιμὴν καὶ χάριν, ὡς βασιλείαν οὐρανῶν καὶ τρυφὴν παραδείσου κεκόσμηται, ἐξ οὗ καὶ τὸ πρεσβεύειν ὁρώμενος καὶ μόνον τῷ δεσπότῃ δεδύνηται. ὡς γὰρ φωνήν τινα τὸ ἐξ ἑαυτοῦ κατόρθωμα ὑπὲρ τῶν ὁμογενῶν πᾶς τις ἅγιος κυρίῳ προτίθεται, χαίροντι τῷ θεῷ ταῖς τοῦ μετανοοῦντος ἐγκατορθώσεσι καὶ τοῦ συνεγχειροῦντος ἁγίου καὶ προκαθηγουμένου εἰς τὴν πρὸς αὐτὸν ἐπιστροφήν, ὡς μὴ βουλομένῳ τὸν τοῦ ἁμαρτωλοῦ, καθάπερ ὀμώμοκε, θάνατον. τοιγάρτοι οὐδ᾽ ὡς ἄνθρώπων ἐχέκακοι, μή τι γένηται, ὁ ὑπεράγαθος προσάγοντί τινι τὸν ἐχθρὸν εἰς καταλλαγὰς παροργίζεται, ἀλλ᾽ ὡς φιλόψυχος καὶ φιλάγαθος καὶ φιλόδουλος αὐτῷ τούτῳ καὶ πλέον τῷ ὑπὲρ ὁμοφύλων

ἁμαρτωλῶν πρεσβευτικῶς καθίστασθαι τὰ πρὸς αὐτὸν <τὸν> ἅγιον καὶ χαίρει καὶ δωρεῖται καὶ εἰσακούει τὴν δέησιν, ἀρετὴν τοῦτο δείξας καὶ δι᾽ ἑαυτοῦ νομοθετήσας φιλεῖν τὸ ὁμόφυλον, καθὸ καὶ αὐτὸς γεγονὼς ὑπὲρ ἡμῶν καθ᾽ ἡμᾶς πλὴν ἁμαρτίας ἀληθινὸς ἄνθρωπος καὶ μείνας θεὸς ἀληθινός, ὅπερ καὶ ἦν, ἄτρεπτος, ὡς ὁμοφύλους τῷ ἰσοφυεῖ καὶ ὁμοδυνάμῳ Πατρὶ κατὰ τὴν ἐκ δικαίου συγγενικὴν προστασίαν παρακαλῶν δι᾽ ἑαυτοῦ κατηλλάξατο, τῷ ἔχειν πρὸς ἡμᾶς διὰ τὴν ὁμοφυΐαν οἰκειότητα [p. 34] παρακαλῶν ὑπὲρ ἡμῶν τὸν πατέρα καὶ τῷ εἶναι αὐτῷ πάλιν ὁμοούσιος εἰσακουόμενος, ὥς φησιν ὁ ἀπόστολος, ἀπὸ τῆς εὐλαβείας, μέσος τε ἡμῶν καὶ τοῦ πατρὸς ἱστάμενος κατὰ τὴν ἐπ᾽ ἀμφοῖν δι᾽ ἑαυτοῦ κοινωνίαν, ἣν ἐμεσίτευσε θεότητι καὶ σαρκὸς παχύτητι, ἡμᾶς αὐτῷ καὶ αὐτὸν ἡμῖν καταλλάττει, πείθων μὲν ἡμᾶς ταῖς εὐεργεσίαις καὶ τοῖς σημείοις διὰ πίστεως τῆς πρὸς αὐτὸν καὶ τὸν πατέρα γινώσκειν αὐτὸν ὡς ἀληθινὸν μόνον θεόν τε καὶ κύριον, λύων τε τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, ἱερεῖον καὶ ἱερεὺς ἄμφω γεγονὼς καὶ προσαγαγὼν ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ πατρὶ εἰς ἀθέτησιν ἁμαρτίας ἐφάπαξ καὶ τὴν αὐτοῦ εἰρήνην ἡμῖν παρασχόμενος. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ διὰ τῶν μαθητῶν καὶ τῶν ἑξῆς ἁγίων αὐτοῦ ἡμῖν γίνεται, πρεσβευτὰς ἡμῖν ἤτοι διαλλακτὰς μεθ᾽ ἑαυτὸν καθιστῶν αὐτούς, ὡς ἀφ᾽ ἡμῶν πρὸς αὐτὸν διὰ πίστεως, ὡς ἐξ αὐτοῦ πρὸς ἡμᾶς δι᾽ ἀφέσεως. μεσιτεύσας γὰρ ἡμῖν πρὸς τὸν πατέρα καὶ ὑπὲρ ἡμῶν

πρεσβεύσας καὶ γεγονὼς παράκλητος, ὡς καὶ τὸν ἄλλον τὸν ἴσον ἑαυτῷ, τὸ πνεῦμα λέγω τῆς ἀληθείας, ἐμπαρασχόμενος χρᾶται καὶ τοῖς ἁγίοις, οἷς καὶ ἡμεῖς πρὸς αὐτὸν μεσίταις ἡμῖν, καὶ ὅπερ δέχεται, πείθει δέχεσθαι, λέγων διὰ Παύλου ἀρίδηλα· "ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ θεῷ."

53. αἰσχυνέσθωσαν ἐντεῦθεν οἱ τὰς πρεσβείας τῶν ἁγίων οὐκ ἐκδεχόμενοι, ψυχῇ καὶ σαρκὶ δυναμωθέντων αὐτῶν εἰς τὰ ὑπὲρ ἡμῶν καὶ ἡμᾶς, ἐπεὶ κατ᾽ ἄμφω ἡμῖν μεσιτεύουσιν, τῇ τε διδασκαλίᾳ ὑπὲρ Χριστοῦ τὴν ἐπιστροφὴν πρεσβεύοντος ἡμῖν καὶ αὐτῷ πάλιν ὑπὲρ ἡμῶν τοῖς ἰδίοις ἀριστεύμασί τε καὶ ἀγωνίσμασι τὴν ἀποδοχὴν πρεσβεύοντες. κατ᾽ ἄμφω τε ἐδόξασαν ἐν ἑαυτοῖς κύριον, ὥς φησιν αὖθις ὁ μέγας ἀπόστολος· "δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ θεοῦ" καὶ κατ᾽ ἄμφω τὰς χάριτας ἔχουσιν, ὡς καὶ τὰς ἀνταποδόσεις κατ᾽ ἄμφω ἐκδέξοιντο· τῇ γὰρ ψυχῇ ὑπὲρ ἡμῶν κυρίῳ ἐν παραστάσει πρεσβεύοντες, διὰ σαρκός, εἶτ᾽ οὖν λειψάνων, ῥωννύουσί τε ἅμα καὶ τῶν παθῶν ἀπαλλάττουσι. καὶ ὅτι ταῦτα, ἅπερ ὁ λόγος, εἰ καὶ παρενήνεκται, ὅμως δ᾽ ἀπέδειξεν, οὕτως ἔχοιεν, οἵ τε νοσοῦντες, οἵ τ᾽ ἐνεργούμενοι καὶ ἐπὶ πᾶσιν οἱ ἐπὶ ταῖς θεολαμπέσι θήκαις τῶν ἁγίων προστρέχοντες πεισάτωσαν καὶ ἐπιμαρτυρείτωσαν τὴν ἀμεταμελήτως τοῖς τῶν ἁγίων σώμασι παρομαρτοῦσιν τοῦ θεοῦ χάριν

καὶ ἐμπεδούτωσαν, ὡς ἀπὸ Ἐλισσαίου πάλαι καὶ μέχρις τῶν καθ᾽ ἡμᾶς ἁγίων πιστεύεταί τε καὶ δείκνυται,
[p. 35] ὡς ὤφελεν καὶ τὸν ἐξ ἀπιστίας μονόζωνον νενεκρωμένον ἀγνοίᾳ καὶ ἀμαθίας συμπτώματι, ὅστις ἐὰν ᾖ, ἐγεῖραι καὶ ἀναστῆσαι προσκαθαπτόμενον παροδευτικώτατα τοῖς καθ᾽ ἡμᾶς Ἐλισσαίοις ἐπισορίοις πολλοῖς οὖσι καὶ ἀπείροις εἰς ἐξαναστάσεως δύναμιν καὶ εὐελπιστίας διέγερσιν χάριτι τοῦ δυναμοῦντος πάντας τοὺς αὐτῷ μετὰ σαρκὸς εὐηρεστηκότας κατ᾽ ἀμφότερα, τὴν χάριν αὐτοῦ νῦν μὲν μεμερισμένως καὶ μερικώτερον, ἐν δὲ τῇ ἀναστάσει κοινωνικῶς τε καὶ τελειοπρεπῶς ἐκδεξομένους, ὡς καὶ τὸν αὐτοῦ σημερινὸν παραστάτην ἅγιον, τὸν θεοφανῶς ὡς ὄντως φερωνυμήσαντα. ἀλλὰ παρόδῳ μὲν κεχρημένος ὁ λόγος ἐν τῷ βούλεσθαι εἰπεῖν τῆς τοῦ δικαίου ψυχῆς τὴν τῷ κυρίῳ παράστασιν ἔδειξε τοῦτον ὡς ἐν ἁπλῇ στολῇ κατὰ τὴν τοῦ μεγάλου εὐαγγελιστοῦ Ἰωάννου Ἀποκάλυψιν καὶ ὅτι καὶ τὴν διττὴν περιμένει κατὰ τὴν κοινὴν ἐξανάστασιν, ὅταν ῀ἡ ψυχικὴ ἀκρίς,῀ ὥς φησι Σολομών, ῀παχυνθεῖσα,῀ εἶτ᾽ οὖν ἐπενδυθεῖσα τὸ σῶμα τῆς δόξης, τὴν ἀφθαρσίαν ὡς δευτέραν στολὴν ἀμφιάσαιτο καὶ οὐ χωρίς, ἀλλὰ μετὰ πάντων τελειωθείη πᾶς δίκαιος. οὕτω δέ μοι νόει ἀπ᾽ ἐναντίου καὶ πάντα ἄδικον, περὶ ὧν, εἰ ἀπαντήσοι τόπος ἐξαπαιτῶν τὴν διάλεξιν, οὐκ ἀποκνήσαιμι τὴν ὑφήγησιν.

54. πλὴν ἐπειδή, καθὼς ἔφθην εἰπών, ἡ πρὸς τὴν ὑπερορίαν ἀπαγωγὴ ταχεῖαν ἔσχε τὴν ἀπὸ τοῦ σώματος ἐξαγωγὴν τοῦ τρισμάκαρος (ἡμέραις γὰρ τ<ρ>ισὶ πρὸς ταῖς εἴκοσι καὶ μόναις τὴν ἐν τῇ νήσῳ ζωὴν εὐδόκηται καὶ κατέπαυσεν), τί χρὴ λέγειν, ὅσης μὲν εὐλογίας τὸν τόπον ἐνέπλησεν, οἷον δὲ ἰατρεῖον αὐτοκερδὲς ὁ τόπος εὐπόρησεν εὐθὺς γὰρ τοὺς τῆς νήσου βόας θραυστικῶς ἀποθνήσκοντας ἀπομυρίσματα τοῦ γλωσσοκόμου μόνον, οὐκ αὐτοῦ δὲ τοῦ σκήνους (οὐ γὰρ ἐτόλμησαν) ῥαντισμῷ τῷ ἐπ᾽ αὐτοὺς ὡς ἐκπλύματι τῆς τοῦ θανάτου φθορᾶς ἠλευθέρωσαν καὶ τῆς λοιμώδους κακίας ἀπέσμηξαν, ὑπερκειμένως τῆς κατὰ νόμον δαμάλεως οἱ πιστοὶ καὶ αὐτόχθονες γνώμονες τὸ καθάρσιον ἀνευράμενοι. ἐκεῖ μὲν γὰρ ἡ τῆς δαμάλεως σποδιὰ ἐπιρρανθεῖσα καθῆρεν τὸν ἄναγνον τὸν δι᾽ ἀρὰν τὴν κοινοῦσαν μέχρις ἑσπέρας καὶ πλύσεως, καθὰ γέγραπται· ἐνταῦθα δὲ τὸ ἐκ τῆς θήκης τῆς ἁγίας κόνεως ἀπομύρισμα ἐπιρρανθὲν ἁπλῶς ἐθεράπευσεν καὶ τοῦ λοιμώδους θανάτου τὸ μοσχογενὲς ἅπαν ἐκάθαιρεν καὶ πρὸ αὐτῶν τὸν ἐπιρραίνοντα καθηγίασεν. ὅλη γὰρ ἡ χάρις ἀδούλωτος, ἐπεὶ ὁ νόμος οὐδὲν ἐτελείωσεν, εἰ μή, καθώς φησι γράμμα τὸ πανίερον, ἐπεισαγωγῇ κρείττονος ἐλπίδος, δι᾽ ἧς ἐγγίζομεν τῷ θεῷ.

[p. 36]

55. οὗτος οὖν εἰς τοσοῦτον ἤγγισεν τῷ θεῷ καὶ πρὸ τοῦ θανάτου καὶ μετὰ θάνατον, ὥστε τῷ παντελῶς ἐξασθενῆσαι τῇ δυνάμει τοῦ σώματος συνεὶς τὸ ἄτονον ὁ τούτου λειτουργὸς καὶ τὸν θάνατον τεκμαιρόμενος, φησὶ πρὸς αὐτὸν τῇ τοῦ μαρτίου μηνὸς ἑβδόμῃ μετά τινος παρακλήσεως· «ὑπολαμβάνω, πάτερ, τῇ τῶν ἁγίων τεσσαράκοντα ἡμέρᾳ μέλλεις τελευτᾶν, μεθ᾽ ὧν καὶ τὸν κλῆρον τῆς ζωῆς ἐκδέξῃ ἐπάξια.» ὁ δὲ πρὸς αὐτὸν ἑτοιμότατα· «οὐχί, τέκνον οὐχ οὕτως, ἀλλ᾽ ἔτι μικρὸν ὕστερον· τῇ γὰρ δωδεκάτῃ τοῦ μηνὸς τελειοῦμαι, ἐν ᾗ καὶ τοῦ ἁγίου Κοδράτου τελεῖται ἡ ἄθλησις.» οὕτως ἔσχηκε τὸ τέλος ὁ ὅσιος καὶ οὕτως προέγνω τὴν πρὸς κύριον αὐτοῦ ἐνδημίαν καὶ ἐκδημίαν ἀπὸ τοῦ σώματος, ἐπεὶ ὁ λόγος οὐκ ἠσθένει τοῦ ἐν κυρίῳ φεγγομένου [λεγε· φθεγγομένου?] καὶ δι᾽ αὐτοῦ λαλοῦντος τὰ παρ᾽ αὐτοῦ προδεικνύμενα. καὶ τῆς μὲν φαινομένης ζωῆς ἀπανίστατο, πρὸς δὲ τὴν κρυπτομένην σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ, ἣν καὶ τῷ δεδέσθαι πρὸς σῶμα ἠσπάζετο, πρὸς αὐτὴν ὅλος γίνεται καὶ μετάγεται, ἵν᾽ ὅταν φανερωθῇ Χριστὸς ἡ ἀληθινὴ ζωὴ καὶ ἀπέραντος, τότε καὶ αὐτὸς σὺν αὐτῷ ἐν δόξῃ φανερωθείη ἱεροκήρυκτα. καὶ ὅτι μὴ ζημίαν οἶδεν ἡ ἀρετὴ πάσχειν καὶ μετὰ θάνατον, δείκνυσιν αὐτὸς δεξιούμενος ἰάμασί τε καὶ θαύμασι τοὺς δι᾽ αὐτοῦ κυρίῳ προστρέχοντας. πλὴν ἐροῦμεν τὸν ἀπὸ τῆς νήσου τῆς μεταθέσεως τρόπον καὶ καιρὸν πρότερον καὶ τηνικαῦτα τῶν θείων θαυματουργιῶν αὐτοῦ μνημονεύσωμεν.

56. μένει γὰρ τέως ἀντὶ γηίνου τάφου τῇ ξυλίνῃ λάρνακι ἐπὶ τοῦ αὐτοῦ τόπου ἐνεχόμενον τὸ τοῦ τρισμάκαρος καθαρώτατον σωμάτιον. Λέων δὲ τῷ θανάτῳ προπέμπεται καὶ τρυματίας νεκρὸς διαρρίπτεται, αὐτῇ πείρᾳ μαθὼν τὸ πικρὸν τοῦ θανάτου, ᾧ πολλοὺς κατηψίνθωσεν ὁ σαρκοφάγος κύων καὶ πονηρότατος. καὶ τὸ μὲν ὅποι, μικρὸν προέφθη ὁ λόγος διηγησάμενος· πλὴν ὅτι συντέτριπται ὁ ζυγὸς τοῦ παίοντος καὶ ὁ ἐπισπουδαστὴς καὶ ἀπατεὼν καὶ ἐξαπαιτῶν [λεγε· ἐξαπατῶν?] κεκοίμηται καὶ κατέβη μετὰ πολλῶν ἐκκεντημένων εἰς ᾄδου μαχαίρᾳ καὶ τῶν μὲν ἐλεγχόντων ἤκουσεν, οὐ βασιλέων δέ, οὐ γὰρ ἦν πρὸς ἐνόπλους παρατάττεσθαι ἕτοιμος, ἀλλ᾽ ἐκ μοναχῶν τῶν ἀόπλων, τῶν οὐκ εἰδότων χωρίζειν [λεγε· χειρίζειν] μάχαιραν, οὐδὲ θυρεὸν προασπίζεσθαι, ἐκγελωμένων αὐτὸν καὶ διαμυκτηριζόντων καὶ ἐπιφερόντων μετ᾽ ἄλλων καὶ τοῦτο, ὡς πρόσφορα· «κατέβη δὲ εἰς ᾄδην ἀδόξως ἡ δόξα σου, ὑποκάτω σου στρώσουσι σῆψιν.» ἔστρωσε γὰρ ὡς ἀληθῶς ὁ ὁρμασθὸς τῶν παθῶν αὐτῷ καὶ οἱ συλλήπτορες τούτου δαίμονες τὴν τῆς αἰσχύνης κοίτην ἐκ σήψεως, δι᾽ ἧς ἐπὶ [λεγε· ἐπ᾽] αἰσχύνην αὖθις

[p. 37] τὴν μείζω ἐξαναστήσεται, ᾧ πολὺ κρεῖσσον μὴ ἐγηγέρθαι, μηδ᾽ ἀναστῆναι εἰς ἀθάνατον θάνατον. καὶ συννεφία τὴν χάλαζαν διαδέχεται καὶ ψεκασμὸς τοὺς ῥαγδαίους ὄμβρους ἀμείβεται καὶ καῦμα τὸ πῦρ τὸ

φλογῶδες ἀλλάττεται καὶ ψῦχος τὸν κρυμὸν ἀποφέρεται, καὶ ἀνατέλλει κἂν οὐκ ἀμφήλιος ἡμέρα, ἀλλ᾿ οὖν γε ἀντὶ πολλοῦ ζόφου ἑωσφόριον αὔγασμα, καὶ γίνεται τοῦ κακοῦ μετρίωσις μέν, οὐ μὴν ἀφανισμὸς παντελής, οὐδὲ τοῦ καλοῦ ἀντεισένεξις. Μιχαὴλ γὰρ παραλαμβάνει ὃ προέδωκεν τὸ βασίλειον, καὶ οὗτος κρατεῖ μεθ᾿ ὃν κεχείρωται, ὃν κατέλαβεν, καὶ δέδωκεν ἀέρα ψύξεως, ἀλλ᾿ οὐκ ἀναψύξεως τοῖς πνιγεῖσι μακρότερα.

57. καὶ ὡς εὑρόντες καιρὸν ἀμελέστερον λαμβάνουσιν οἱ μαθηταὶ <ἐκ> τοῦ τόπου τὸν ἅγιον καὶ ἐμπλοΐσαντες ἐκ Σαμοθρᾴκης ἀφίκοντο πρὸς τὸ τοῦ κατ᾿ αὐτὸν μοναστηρίου προάστειον, Ἱερεῖα λεγόμενον, ἐν μαρτυρίῳ Προκοπίου τοῦ παναγίου ἀθλοφόρου, δωδέκατον σημεῖον ἀπὸ τῆς αὐτοῦ μονῆς ἀπέχοντι, πένθος τοῖς τὴν νῆσον οἰκοῦσιν, ὅθεν αὐτὸν μετεκόμισαν, καταλιπόντες τοιοῦτον, οἵαν χαρὰν καὶ εὐφροσύνην τοῖς δεξαμένοις ἐκόμισαν. καὶ τότε μέν, ἐπεὶ ἡ τῶν σωτηρίων παθῶν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παναγία ἑβδομὰς ἐτύγχανεν, ἔμειναν κατὰ χώρας ἀκίνητοι, ταῖς κατὰ τὸ Πάσχα μᾶλλον ἡμέραις ἡγούμενοι εὐπρεπέστερον τὴν παντελῆ μετάθεσιν, εἴτ᾿ οὖν ἀνακομιδὴν τοῦ ἁγίου πρὸς τὸ αὐτοῦ μοναστήριον ποιήσασθαι. τοῦτο δὲ κυρώσαντες, ὡς ἔδοξεν, ἡ τῶν ἄποθεν [λεγε· ἄπωθεν?] καὶ ἐγγύθεν συνδεδραμηκότων πληθὺς τῶν ἐκ παντοίας ἀσθενείας κεκρατημένων ὄχλησιν τῷ τόπῳ

καὶ κόπον τοῖς μαθηταῖς αὐτοῦ ἐποίησε μέγιστον· ἀπὸ γὰρ τριακοσίων μιλίων κατὰ τὸ πέριξ ἅπας ὁ τῶν ἀρρώστων κεκίνητο ὅμιλος, σπουδῇ τὸν ἕτερον θάτερος καὶ προσπελάσει τῆς θήκης φιλονεικῶν ἐκνικήσασθαι· καὶ οἱ μὲν δαιμονῶντες, ὡς οὐχ ἑκόντες, ἀλλὰ βιαίως ὡμολόγουν τὸ ἕλκεσθαι, τοῖς ἐλεγμοῖς δὲ τούτων ἡ ἀκοὴ τοὺς ἄλλους κινήσασα, πᾶσαν ἀρρώστων, ὡς ἔφημεν, φύσιν καὶ ἡλικίαν διήγειρεν, τῷ ἀναργύρῳ καὶ παρετοίμῳ τῆς ἰατρείας πιστοὺς καὶ εὐέλπιδας ὑπαγομένη τοὺς πρόσφυγας. οἵ τε γὰρ ἐνεργούμενοι ἅπαντες καὶ οἱ κατ᾽ ἄλλην πᾶσαν ἀσθένειαν ἐνεχόμενοι μόνῃ τῇ πρὸς τὴν θήκην τοῦ πανοσίου ἁφῇ καὶ τῇ ἐκ τοῦ ἀπομυρίσματος ταύτης ἀλοιφῇ τὴν ὑγείαν ἐπορίζοντο. καὶ τῶν ἁπάντων οὐδεὶς τῆς δωρεᾶς ἐγένετο ἄμοιρος, ἀλλ᾽ οἱ μὲν δαιμονῶντες ἐμφανῶς καὶ ἀνερυθριάστως κεκαθαρμένοι ἀπῄεσαν ὅτι τάχιστα, τῶν ἀκαθάρτων πνευμάτων μετὰ κραυγῶν ἀμέτρων δραπετευόντων, ὡς πάνυ γε, οἱ δ᾽ ἐγκρυφίως τῆς παρ᾽ αὐτῶν κακίας κατεμφορούμενοι, εἰς τοὐμφανὲς βοώντων
[p. 38] τῶν ὑποκρίσει δολοφονούντων αὐτοὺς μιαρῶν δαιμόνων τὴν παρὰ τοῦ θεοῦ διὰ τοῦ δούλου αὐτοῦ Θεοφάνους ἐξέτασιν, εὐθὺς καὶ αὐτοὶ τῆς σωτηρίας ἐτύγχανον μάλιστα· ἄλλοι ἐπὶ κλινῶν ἐληλυθότες παράλυτοι ἁλλόμενοι στρωμνηφόροι ἀπῄεσαν· ἕτεροι τυφλοί, παρ᾽ ἄλλων ὁδηγηθέντες τὴν ἔλευσιν, οἰκειοβλέπτως τὴν ἐπιστροφὴν ἐποιήσαντο· καὶ πολλοὶ χωλοί, τὰς βάσεις ἐξῃρημένης τῆς φύσεως,

δορκαδοτρόπως ἀπέτρεχον οἴκαδε· κωφοί τε καὶ ἄλαλοι, λελωβημένοι τὴν ἐπ᾽ ἀμφοῖν αἴσθησιν, τῷ κατακούειν ἑτέρων εὐχαριστούντων ὁλόψυχα τρανογλωττίαν τὴν συμφωνίαν ἀνέπλεκον, θεῷ καὶ τῷ ἁγίῳ ταύτην ἀνοίσοντες· αἱμορροοῦντα γύναια, τῇ διηνεκεῖ αἱμοχυσίᾳ ἡμίθνητα, ξηρανθέντα πηγὰς τὰς τῆς ῥύσεως <καὶ> ἀναζωπύρωσιν φλεβοστολίας πλουτήσαντα εὐχαριστίας ὕμνους ἀνέβλυζον· χειρόγραφον ἁμαρτιῶν προτεθὲν ἐσφραγισμένον τῇ θήκῃ παρὰ τοῦ τὴν πενίαν τῶν ἀνομιῶν πεπλουτηκότος κακῶς τινος, εὐθὺς ὡς μὴ γραφείς ποτε ὁ χάρτης εὑρέθη τῷ θέντι καὶ ἄραντι. καὶ ὡς ἡμέρα [λεγε· ὁσημέραι] τοιαῦτα καὶ ἑτερότροπα καὶ ἀνήριθμα πράττειν τε καὶ δωρεῖσθαι τοῖς δεομένοις οὐκ ἀπολήγει ὁ ἅγιος· ἡ γὰρ ἀκένωτος τῶν χαρισμάτων κρήνη Χριστοῦ τοῦ θεοῦ ἡμῶν τοῦ ὁμολογηθέντος ὡς λόγων ταῖς διηγήσεσιν, οὕτω δὴ καὶ γραφῇ τῶν ἐτάσεων, ἀένναον ἔχουσα τὴν ἀνάβρυσιν, ἀμέτρητον παρέχει τοῖς ἀρυομένοις τὴν ἴασιν ἅπασιν.

58. καὶ περιμείναντες ἐνιαυτὸν ὅλον ἐν αὐτῷ τῷ τόπῳ οἱ μαθηταὶ τοῦ παμμάκαρος τῷ τε μὴ συγχωρεῖσθαι τοῖς λαοῖς τοῦ ἀπᾶραι καὶ τοῦ μὴ δόξαι φθονεῖν τῆς τῶν ἀνθρώπων σωτηρίας φιλάδελφα, ἐπὶ πολὺ μή ἰσχύοντες ἀντέχειν τῇ μεγίστει ὀχλήσει τῶν προσιόντων, ---ἦσαν γὰρ χιλιάδες ὡσεὶ δέκα καὶ πλεῖον οἱ παραμένοντες καὶ πάντες θεραπεύομενοι--- μετὰ πολλῆς βίας, ὡς δὲ καὶ δόξης, κηρῶν τε καὶ

θυμιαμάτων καὶ ψαλμῳδίας κυκλοτερῶς τοῦ πλήθους ἐξάρχοντος, μετῆραν αὐτὸν εἰς τὴν παρ᾽ αὐτοῦ κτισθεῖσαν μονὴν τὸν Ἀγρὸν ἐπιλεγομένην καὶ κατέθεντο ἐν τῷ μνημείῳ ᾧ ᾠκοδόμησαν πρὸς τῷ δεξιῷ μέρει τῆς ἐκκλησίας, ἐν ᾧ καὶ ψάλλων νυκτεριναῖς ταῖς ὥραις ἐκάθητο.

59. ἀλλ᾽ ἐπεὶ ἀπροσώπως καὶ ἀνηρίθμως τὴν πάντων νοσημάτων μειζόνων καὶ ἐλαττόνων ἰάτρευσιν τοῦ πανοσίου ἀπεμνημονεύσαμεν, εἰπόντες πολλοὺς ἐν ταῖς ἁπάσαις νόσοις καὶ οὐ καθ᾽ ἕνα ἰαθέντας, καθάπερ καὶ ἔγνωμεν, εἰκὸς ᾠήθημεν καὶ τοῦ καθ᾽ ἕνα προσώπου κἂν ἐπὶ τριῶν μνημονεῦσαι πραγμάτων καὶ τηνικαῦτα καταπαῦσαι τὴν περὶ θαυμάτων διήγησιν, ἄπειρον οὖσαν καὶ γραφῆς <οἰκείας> δεομένην τὸ σύνολον, ὡς μηδὲ καταλήψει [p. 39] ὑπείκουσαν, μηδὲ τὸ παύειν αὖθις αἱρουμένην, καὶ διὰ τοῦτο τοῖς προλαβοῦσι τὰ παρόντα πιστουμένην, ὡς συμπαθής τε καὶ θεοδώρητος ἡ γνώμη τοῦ θείου θεράποντος. ἀλλ᾽ ὅτι ἐξ ἀρχῆς καὶ ἄνωθεν ἡ ἀφθονόβρυτος τοῦ θεοῦ δωρεὰ ἐν τῷ ἁγίῳ ἐπήγαζεν, δίκαιον ἦν δηλῶσαι διά τε τῶν φθασάντων, ὧν προείπομεν ἐξηγούμενοι, καὶ δι᾽ ὧν νῦν ὑφηγήσασθαι τριῶν τερατουργιῶν προεθέμεθα, ἐπεὶ ὅτι γεγένηται ἅπαντα καὶ λόγον ἀμφιβολίας οὐκ ἔχει τὸ διηγούμενον, ἡ αὐθημερινὴ καὶ αὐθωρινὴ κάθαρσίς τε καὶ ἴασις τῶν ὁπωσδήποτε ἀσθενούντων πιστώσαιτο καὶ ἐπιμαρτυρήσαι ταῖς ὑποθέσεσιν.

60. γεωργοῦ γάρ τινος ἐπέπεσεν τῇ χώρᾳ βροῦχος, ἐκτρίβων αὐτὴν εἰς παντέλειον, ὡς ἐνομίζετο τοῖς ὁρῶσι καὶ συνιεῖσι τὰ πράγματα. οὗτος τὴν πρὸς τὸν ὅσιον πίστιν ὑποδησάμενος τρέχει τρυγήσων αὐτόχειρ πρὸς τὴν μονὴν τοῦ δικαίου τὸ ἴαμα καὶ λαβὼν ἐξαιτήσει τῆς θήκης τὸ ἀπομύρισμα ἐσκέδασε τῆς χώρας ῥαντισμῷ κατεπάνωθεν καὶ τὸν μὲν ἀμητὸν ταῖς ἀκεσοβόλοις ῥανίσι τοῦ λοιμοῦ ἀπέσπασεν, τὸν δὲ βροῦχον χαλάζῃ τοῦ δροσινοῦ ῥαντισμοῦ ἀπενέκρωσεν, ἢ μᾶλλον τῇ πυρᾷ τοῦ ὄμβρου τῆς εὐλογίας κατέφλεξεν, παραλλήλως τοῖς ἐν τῇ Ἀσσυρίᾳ τρισὶν νεανίαις θαυματουργηθέντι τῷ πράγματι, ὡς ἀντὶ δροσοβόλου φλογὸς πυριφλεγέθοντι ὕδατι καταπαῦσαι τὸ φθοροποιὸν στράτευμα.

61. ἄλλου πλουσίου σιτοβολῶνι σκώληξ ὁ λεγόμενος καρκίνος ἐνεγενήθη καὶ τὸν σῖτον ἠφάνιζεν· ὁ δὲ μιμεῖσθαι μὲν τὸν σιτομέτρην Ἰωσὴφ τῇ περινοίᾳ τῆς ἀγχινοίας οὐκ ἔσθενεν· οὐ γὰρ ἦν προεντεθυμημένος δραγματοφόρον ἐγκλεῖσαι τὸν πυρὸν εἰς συντήρησιν· ζηλοῖ δὲ τοὺς πρὸ αὐτοῦ διὰ πίστεως ἀνευραμένους σωτηρίαν καὶ λαβὼν αὖθις ἐκ τοῦ ἀπομυρίσματος, ὡς ἐν σπορᾷ τῷ σίτῳ καὶ ὥσπερ γῇ τῷ οἴκῳ ἐπιρραίνει τὸ ἴαμα· καὶ δὴ παραυτὰ γίνεται τούτῳ τῷ γεννήματι ἅπαντα, ὅσα φυλάττειν τὸν σῖτον οἶδεν ἐπὶ καλάμου καὶ σταχυώδους ἀνθέρικος μένοντα, χωρὶς μὲν τῆς ἐκ τούτων περιβολῆς, ἀλλ᾽ ὅμως σωζόμενον. τῷ μὲν

σκώληκι γεγένηται ἡ δροσινὴ ἐπιρράντισις ἔκκαυσις, τῷ δὲ πυρῷ ἀγνώστως καὶ ἀνεπινοήτως δεδώρηται ἡ ἐκκάθαρσις καὶ τῷ κυρίῳ τούτου διεφυλάχθη τὸ ἴδιον.

62. καὶ ἵνα παρθένῳ συγκλείσῳ τὴν ἀπερίληπτον τοῦ φιλάγνου δι᾽ ἀπομυρίσματος αὐτοῦ θεραπείαν, --- χαίρει γὰρ ἕκαστον πάντοτε τῷ οἰκείῳ καὶ συγγενεῖ καὶ ἄρχεσθαι καὶ προσμένειν καὶ περατοῦσθαι, ὡς τὸ εἰκὸς καὶ κατὰ συνήθειαν,--- παρθένος τις τῶν εὖ γεγονότων καὶ περιωνύμων
[p. 40] σκώληκα ἐν τῇ κεφαλῇ ἔσχεν ἐγκρύφιον, ἐξ οὗ ὀδύνην δημοσίαν εὐπόρησε· τῇ δὲ τῶν ἔνδον σπαραγμῶν περιοδυνήσει ἐσθιομένης αὐτῆς ἑκάστοτε συγκατησθίετο καὶ ἡ ὕπαρξις, ταῖς πρὸς ἰατροὺς τοὺς ἐπισημοτέρους προσδρομαῖς αὐτῆς δαπανωμένων ἀκαίρως τῶν ἐπικαίρως σεσυνηγμένων, οὐ μὴν ἢ συντυχικὴ ἢ τεχνικὴ ἐπηκολούθει ποτὲ τοῦ νοσήματος ἴασις, ἀλλ᾽ οἱ μὲν κόποι ἠνύοντο, αἱ ἀλγηδόνες δὲ οὐκ ἐπαύοντο, ὑψηλοτέρου τέχνης καὶ ἀργαλεωτέρου βοηθείας γεγενημένου τοῦ ἀρρωστήματος. ταύτῃ παραγενομένῃ ἐν τῇ μονῇ πρὸς τὸν ἅγιον τῶν προσφιλῶν γυνή τις ἐπισκέψεως χάριν προσῆλθεν αὐτῇ λέγουσα· «θέλεις, ἀμμᾶ,» (τάχα γὰρ μονάστρια ἦν, τὸ τῆς παρθενίας κοσμοῦσα καὶ κοσμουμένη τῆς ἁγνείας προσχήματι), «θέλεις φέρω σοι ἀπομύρισμα ἐκ τοῦ ἁγίου πατρὸς ἡμῶν Θεοφάνους, καὶ βάλλεις εἰς τοὺς μυκτῆράς σου, ἴσως ὁ θεὸς δι᾽ αὐτοῦ ἐλεεῖ σε, ὡς

καὶ πάντας τοὺς δι᾽ αὐτοῦ προσιόντας αὐτῷ.» ἡ δὲ πρὸς αὐτὴν ἀπεκρίνατο· «ναί, παρακαλῶ σε, κυρία μου, ἄγαγε· οὕτως γὰρ ἀκούω περὶ αὐτοῦ τέρατα.» λαβοῦσα οὖν καὶ ὑπανελομένη μυκτηρόθεν τὸ ἀπομύρισμα ἐκοιμήθη εὐκταίως καὶ ὕπνωσεν. παραχρῆμα δὲ σὺν νεανίσκῳ τινὶ ἐπιστὰς αὐτῇ ὁ πανόσιος λέγει· «τί ἔχεις, ὦ γύναι τί ὀδυνᾶσαι» τῆς δὲ τὸ πάθος, ὡς εἶχε, τάχος ἀπαγγειλάσης, εὐπρόθυμα αὐτὸς ἐπιλαβόμενος τῆς κεφαλῆς καὶ σφραγίσας φησὶν αὐτῇ· «ἰᾶταί σε ἀπὸ τοῦ νῦν ὁ θεός μου καὶ κύριος» ὑποφθάσας καὶ ὁ νεανίσκος φησὶν αὐτῇ· «οἶδας, τίς ἐστιν οὗτος ὁ προσλαλήσας σοι» «οὔ», ἀπεκρίνατο, «κύριε.» ὁ δὲ πάλιν φησὶν αὐτῇ ἕτοιμα· «ὁ ἅγιος Θεοφάνης ἐστί.» καὶ ἀπέστησαν. διυπνίσθη δὲ ἡ ἀσθενής, καὶ ἰδοὺ ἐνύπνιον, τούτῳ δὲ ἠκολούθει ἀλήθεια, τὸν ὕπνον βεβαιοῦσα, ὅτι ἀλήθεια καὶ τὴν ἀλήθειαν ἐφ᾽ ὕπνοις μηνυθέντα δεικνύουσα. εὐθὺς γὰρ συνιεῖσα καὶ ἑαυτῆς ἐπιμελουμένη, ὥσπερ συνήθεια, εὑρεῖν ἀπὸ τοῦ στήθους τὸν ἀλγηδοτῆρα σκώληκα, ἀπὸ μυκτήρων ἐπὶ τὸ στῆθος καθέρψαντα, τὰς δὲ ὀδύνας φυγαδευθείσας θεοῦ χάρισι καὶ τοῦ ὁσίου ταῖς ἐμφανίσεσιν· ὅτι τῷ θεῷ ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

